ePublishing
ΕΘΝΙΚΟ ΚΕΝΤΡΟ ΤΕΚΜΗΡΙΩΣΗΣ
NATIONAL DOCUMENTATION CENTRE

## Μακεδονικά

Τόμ. 4, Αρ. 1 (1960)




# Εγκώμιον εις τον αρχιεπίστοπον Θεσσαλονίκης Γαβριήλ

*Λουίζα Συνδίκα-Λαούρδα*

doi: [10.12681/makedonika.668](https://doi.org/10.12681/makedonika.668)

Copyright © 2014, Λουίζα Συνδίκα-Λαούρδα

Άδεια χρήσης [Creative Commons Attribution-NonCommercial-ShareAlike 4.0](https://creativecommons.org/licenses/by-nc-sa/4.0/).

**Βιβλιογραφική αναφορά:**

Συνδίκα-Λαούρδα Λ. (1960). Εγκώμιον εις τον αρχιεπίστοπον Θεσσαλονίκης Γαβριήλ. *Μακεδονικά*, *4*(1), 352–370. https://doi.org/10.12681/makedonika.668

# ΕΓΚΩΜΙΟΝ ΕΙΣ ΤΟΝ ΑΡΧΙΕΠΙΣΚΟΠΟΝ ΘΕΣΣΑΛΟΝΙΚΗΣ ΓΑΒΡΙΗΛ

Τὸ κατωτέρω δημοσιευόμενον ἐγκώμιον εἰς τὸν Γαβριὴλ εὑρίσκεται εἰς τὸν κώδικα Vaticanus Graecus, ff 253ᵛ - 272ᵛ καὶ περιέχεται εἰς τὸ τέταρτον αὐτοῦ τμῆμα, ff 200 - 298ᵛ. Τὸ τμῆμα αὐτὸ ἔχουν περιγράψει οἱ Loenertz[1] καὶ Ehrhard,[2] ἀποσπάσματα δὲ ἀπὸ τὸ ἐγκώμιον εἰς τὸν Γαβριὴλ ἔχει δημοσιεύσει ὁ Λαούρδας εἰς τὸν ΝϚ´ τόμον τοῦ περιοδικοῦ «Ἀθηνᾶ», ὅπου καὶ τὰ σχετικὰ εἰς αὐτὸ σχόλια.[3] Τὸ ἐγερθὲν περὶ τῆς Νέας Μονῆς ἐνδιαφέρον[4] κατόπιν τῆς δημοσιεύσεως τοῦ Λαούρδα καὶ ἡ χρησιμότης ὡς ἐκ τούτου τῶν πληροφοριῶν, αἱ ὁποῖαι περιέχονται εἰς τὸ ἐγκώμιον, καθιστοῦν ἀναγκαίαν τὴν ἐξ ὁλοκλήρου δημοσίευσίν του.

Πρόκειται περὶ ἔργου τοῦ ΙΕ´ αἰῶνος, τοῦ ὁποίου ὁ συγγραφεὺς δὲν εἶναι γνωστός.

## ΕΓΚΩΜΙΟΝ ΕΙΣ ΤΟΝ ΑΓΙΩΤΑΤΟΝ ΠΑΤΕΡΑ ΗΜΩΝ ΚΑΙ ΑΡΧΙΕΠΙΣΚΟΠΟΝ ΘΕΣΣΑΛΟΝΙΚΗΣ ΓΑΒΡΙΗΛ

253ᵛ Θαυμαστὸν μὲν οἷον καὶ χάριεν ἐν ὥρᾳ χειμῶνος, ἐν αὐτῇ τῇ τοῦ ψύχους ἀκμῇ, ἠρινὸν ἄνθος, φαιδρὸν προσπῖπτον τοῖς ὀφθαλμοῖς καὶ τὴν ναρκεύσασαν καὶ οἷον ἀποψυχθεῖσαν αἴσθησιν λῦον καὶ πρὸς ἡδεῖαν ἀπόλαυσιν προκαλούμενον, ἥδιον δὲ μακρῷ καὶ θαυμασιώτερον ἐν μεσημβρίᾳ κα-

---

[1] L o e n e r t z R. J., Écrits de Macaire Macrès et de Manuel Paléologue dans les mss. Vat. gr. 1107 et Crypten. 161. Orientalia Christiana Periodica 15 (1949), σελ. 185 - 193.

[2] E h r h a r d A., Überlieferung und Bestand der hagiographischen und homiletischen Literatur der Griechischen Kirche, 3, Leipsig 1943, 714, σημ. 1.

[3] Β. Λ α ο ύ ρ δ α, Ὁ Γαβριὴλ Θεσσαλονίκης. Ἀθηνᾶ τόμ. Νς´ (1952), σελ. 199 - 214.

[4] V. L a u r e n t, Le métropolite de Thessalonique Gabriel (1397 - 1416/19) et le couvent de la Νέα Μονή. Ἑλληνικὰ 13 (1954), σελ. 241 - 255. Γ. Θ ε ο χ α ρ ί δ ο υ, Ἡ Νέα Μονὴ Θεσσαλονίκης. Μακεδονικά τόμ. Γ´ Θεσσαλονίκη 1955, σελ. 334-352. V. L a u r e n t, Écrits spirituels inédits de Macaire Choumnos († c 1382) fondateur de la «Néa Moni» à Thessalonique. Ἑλληνικὰ 14 (1955), σελ. 40 - 86.

κῶν, ἐν τούτῳ δὴ τοῦ καιροῦ, καθ᾽ ὃν τὸ τῆς ἀγάπης καλὸν ἕψηται, ταὐτὸν δ᾽ ἂν εἴη λέγειν ὁ τῆς κακίας καὶ τῶν παθῶν χειμὼν λαμπρότατος ἐξερράγη, φιλοσοφίας τῆς ἀνωτάτω καρπὸν ἐνεγκεῖν τὴν φύσιν, φαιδρὸν μὲν τὴν ὄψιν, ἡδονῆς δὲ πλήρη τὴν γεῦσιν, τὴν δὲ πέψιν αὐτὴν βίου ῥᾳστώνης καὶ ζωῆς ἀϊδίου καὶ μακαρίας τοῖς ἀπολαύουσιν αἴτιον.

Ὁποῖος ἄρ᾽ ἡμῖν ὁ θεῖος ποιμὴν καὶ προστάτης ἀνεφάνη τῆσδε τῆς ἐκκλησίας, ὁ ἱερὸς τῷ ὄντι καὶ θαυμάσιος Γαβριήλ· ἀλλ᾽ ὁ μέν, τῆς ἀληθινῆς ἀμπέλου ἐκφὺς καὶ τοῦ ταύτης γεωργοῦ καὶ πατρὸς ἐπιμελομένου τυχὼν καὶ εἰς ἄκραν τελείωσιν ἐπιδούς, ἥδιστός τε ὁμοῦ καὶ θαυμάσιος τῇ Χρι-
254r στοῦ ἐκκλησίᾳ πρόκειται σήμερον, πάντας | μὲν τῇ καθ᾽ αὑτὸν ἐξιστὰς ὥρᾳ καὶ πάσης ἴϋγγος χειρούμενος βιαιότερον καὶ μέντοι καὶ προῖκα γεύων τοὺς βουλομένους τῆς ἐμφύτου γλυκύτητος, οὐδενὸς δ᾽ ἐπιποιήτου κάλλους δεόμενος, οὐδέ τινος λογικῆς ἐπαυξήσεως καὶ ἀνακηρύξεως. Ἐμὲ δὲ ὅμως εἷλε τυραννήσας ὁ ἔρως καὶ οὐδὲ καθεκτῶς ὅλως ἔχω τοῦ μὴ σὺν βοῇ καὶ θαύματι κροτεῖν τὴν φιλοτιμίαν ταύτην τῆς φύσεως. Οὐδεὶς δ᾽ ἂν εἴη δίκαιος νεμεσᾶν μοι τοῦ ἐγχειρήματος, εἰ μήτε λόγων ἕξει μήτε φύσεως θαρρῶν γενναιότητι, ἔπειτα παρακινδυνεύειν εἱλόμην, ἀσφαλοῦς σιωπῆς ἐπισφαλεῖς λόγους προῃρημένος. Εἰ μὲν γὰρ ἐξῆν τοὺς ἐνευδοκιμοῦντας τοῖς λόγοις, καὶ τοῦτο τὸ πεφυκὸς ἐχορήγει, τὸν ἆθλον ἀνῃρημένους νικῶντας ἀναβῆναι τὸ στάδιον, ἣν ἄν τι προὔργου μηδὲ τὴν ἀρχὴν καθεῖναι πρὸς τὸν ἀγῶνα τολμᾶν τοὺς μὴ κατ᾽ ἐκείνους ἀληλιμμένους ἡμᾶς· εἰ δ᾽ ἐπίσης ἀνάγκη πᾶσι τὰ τῆς ἥττης μετεῖναι κἂν τῆς Ὁμήρου Καλλιόπης καὶ τῶν στομάτων τύχωσιν εὐμοιρήσαντες, τί δεῖ σιωπῆς, παρὸν τοῖς λόγοις τὸν ἐρῶντα μηνύειν καὶ κοσμεῖν μὲν τοὺς λόγους αὐτούς, ἁγιάζειν δὲ τοὺς ἀκούοντας, αἴρειν δέ πως καὶ τὴν ὑπόθεσιν οὐ τῷ λέγειν ἀξίως, ἀλλὰ τῷ πράγμασιν αὐτοῖς τὸ ὑπὲρ λόγον αὐτῆς δείκνυσθαι καὶ τῷ πᾶσαν δύναμιν τέχνης φανερῶς ἐλέγχεσθαι,
254v πίπτουσαν εἴσω τοῦ κατ᾽ αὐτὴν θαύματος. | Ὡς μὲν οὖν ἀποπειρατέον ἂν εἴη τῆς εὐφημίας εἰς δύναμιν, κἂν τῆς ἀξίας ἐνδεῶς ἔχωμεν, οὐκ οἶμαί γε λόγων ἡμῖν δεήσειν πλειόνων. Ἤδη δὲ τοῖς ὑπὲρ σοῦ λόγοις προσάγων, ὦ θεία καὶ ἱερὰ κεφαλὴ πλήρης τῆς εὐωδίας τοῦ πνεύματος, τὴν σὴν καλῶ θείαν ψυχὴν καὶ παρείης γε φίλτατε τῆς ἐπὶ σοὶ σπουδῆς κοινωνήσων μοι, ὡς μὴ τῶν σῶν θαυμαστῶν ἁπάντων ἡμᾶς λειφθῆναι κατόπιν παρὰ πολὺ καὶ εἰ τῶν πρὸς ἀξίαν ὕμνων ἀνάγκη πᾶσα μὴ ἐφικέσθαι.

Τῇ μὲν οὖν φύσει καὶ τέχνῃ νόμος οὗτός ἐστιν ἔμπεδος, πατρίδι καὶ τοῖς ἐκ γένους, ἃ προσῆκεν, ἀφοσιωσαμένους τοὺς ἐπαινέτας, ἐπ᾽ αὐτὸν ἰέναι τὸν ἐπαινούμενον. Ὧ δὲ τὰ ὑπὲρ φύσιν ἐξάρας τῆς εἰς βίον προόδου τῆς φύσεως ὁ δημιουργὸς ἐπεκλήρωσε καὶ ᾧ πᾶσα τέχνης παραχωρεῖ μηχανή τε καὶ μέθοδος, οὐκ ἀναγκαῖος ἴσως ὁ νόμος, ὅς γε καὶ τὴν ἀρχήν, ἵνα

---

25 ἀλληλιμένους 26 Καλλιώπης 30 τῷ : τὸ cod.

κοσμήση τὴν φύσιν παρῆλθε καὶ τὸν νόμον ἀντεισαγάγη τοῦ πνεύματος. Ὡς ἂν δὲ μὴ δοκῶμεν μηδὲν εὐκλεὲς λέγειν ἔχοντες, σεμνὴν ἄλλως ταυτηνὶ προΐσχεσθαι τὴν παραίτησιν, μικρὰ τῷ ἔθει χαρισάμενοι, τοῖς ὑπερφυέσι τοῦ ἀνδρὸς εὐθὺς ἐγχειρίσωμεν κατορθώμασι.

Πατρὶς τοίνυν τῷ θείῳ πατρί, οὐχ οἷα δὴ καὶ τοῖς ἐν παρέργῳ ἐπαίνοις ὑποπεσεῖν, ἀλλὰ πρὸς ἣν εὐφημίας ἅπαν ἔργον, οὐκ ἂν ἀνύσιμον γεγονός, μᾶλλον ἂν δόξειε δικαίως αἰσχύνεσθαι ἢ ἐκείνη τοῖς αὐτοῦ κρότοις 255r σεμνύνεσθαι. | Ἐγὼ δέ, ὡς οὐκ ἐνὸν ἄλλως, μετ᾽ ἐγκωμίων αὐτῆς μνησθήσομαι. Οὐ γὰρ μόνον, ἃ ταῖς ἑκασταχοῦ γῆς μερισαμέναις ἤρκεσεν ἀρίσταις εἶναι, ἡ Φιλίππου πάντα συνείληφεν, ἀλλὰ καὶ μόνη πόλεων ἁπασῶν, ἢ μετά γε μιᾶς, περιουσίᾳ δικαιοσύνης τὴν ἀρχαίαν εὐδαιμονίαν ἐς δεῦρο σῴζουσα διαγέγονε, μήτε τῆς τοῦ θείου λατρείας καθυφεῖσα μηδοποιοῦν, μήθ᾽ ὑπὸ βαρβάροις δεσπόταις ἀνασχομένη τελεῖν καὶ τοῖς ἐκείνων ἔργοις καὶ νόμοις καταμιαίνεσθαι, ἀλλὰ φιλονεικοῦσα τῷ κοινῷ τῆς οἰκουμένης κατακλυσμῷ μὴ συγκαταδύεσθαι. Δι᾽ ἣν αἰτίαν, εἴ τις αὐτὴν ἀρετῆς ἑστίαν καὶ πρυτανεῖον δικαιοσύνης καὶ σωφροσύνης καὶ ἀνδρίας ταμεῖον καὶ πόλιν ἔμφρονα καλεῖν ἐθέλοι, τῶν ὀρθῶν ὀνομάτων οὐκ ἂν ἁμάρτοι. Ὧ δ᾽ ἄν τις αὐτὴν ἁπάσης γῆς προσείπει μητρόπολιν, ᾗ τοῦ νοῦ τυγχάνει φορὰ καὶ πρὸς τὴν φύσιν τοῦ λογισμοῦ θαυμασία συντέλεια, ὥσπερ ἄλλαι φέρειν, ἄλλ᾽ ἅττα οὕτως αὐτῆς φύειν λαχούσης τὸν τῆς ψυχῆς ὀφθαλμὸν καθαρώτατον, δι᾽ ὃν καὶ πάντα κοσμεῖ καὶ τάττει τὰ τῶν ἀνθρώπων συστήματα διὰ τῶν αὐτῆς ἐγγόνων ἀποικίαν φρενῶν ἑκασταχοῦ γῆς ἐνιδρύουσα.

Πατέρες γε μὴν τῷ γενναίῳ, συνελόντα εἰπεῖν, τοιᾷδε πατρίδι καὶ τοιούτῳ παιδὶ συμβαίνοντες, οὐ χρυσῷ καὶ ἀργύρῳ καὶ ἁδρῷ βαλαντίῳ κο- 255v σμούμενοι, οὐδ᾽ ἀξιωμάτων ὄγκῳ καὶ δυναστείας ἀλαζονείᾳ καὶ ὑγρότητι | βίου τὴν ψυχὴν πλαδῶντες καὶ ἐξοιδαίνοντες, οὐδὲ τῷ σιδηραῖς καὶ βαρείαις πέδαις δεδέσθαι μηδ᾽ ὄναρ ἐνθυμηθῆναι τὴν ἐλευθερίαν, ᾗ Χριστὸς ἡμᾶς ἐλευθέρωσεν, ἔχοντες, οὐδὲ τῷ πλεῖστα φορτία περιβαλέσθαι τῶν κάτω κτήσεων ἄβατον καὶ ἀχώρητον τὴν στενὴν καὶ πρὸς ζωὴν ἄγουσαν ἑαυτοῖς ποιησάμενοι, ὡς μᾶλλον εἶναι ῥαφίδος τρυμαλιὰν καμήλῳ διαβατὴν ἢ σφίσιν αὐτοῖς τὴν τῶν οὐρανῶν βασιλείαν εἰσιτητήν, ἥπερ αὐτὸς τῆς βασιλείας ὁ πρύτανις ἀπεφήνατο, ἀλλ᾽ ἄνθρωποι πλείστοις λελυμένοι τοῦ βίου μέρεσι καὶ πρὸς τὸν εὐαγγελικὸν δρόμον εὔζωνοι, τἄλλα μὲν μετριάζοντες καὶ μηδέσιν ἀμφισβητοῦντες τοῦ πλείονος, ἀρετῆς δὲ μηδενὶ ῥᾳδίως τοῦ ἴσου παραχωροῦντες, ὁ μὲν εἰς τοὺς ἀνακειμένους τῷ δεσπότῃ τελῶν καὶ ἱερᾶσθαι ἠξιωμένους καὶ τελοῦντας καὶ τελουμένους τὰ τελεώτατα, ἡ δὲ τῇ τῶν τρόπων εἰλικρινείᾳ καὶ τῷ ἱερῷ τοῦ φρονήματος τὴν πρὸς αὐτὸν πιστουμένη

---

72 - 73 Luc. 18, 25

56 κατακλεισμῷ cod. **70 περιβαλλέσθαι** cod.

συζυγίαν τε καὶ συγγένειαν, μὴ μᾶλλον σωμάτων εἶναι συνάφειαν ἢ ψυχῶν ἱερῶν ἕνωσιν.

Τούτους ὁ Θεὸς τῆς καλοκἀγαθίας καὶ τῆς φιλοσόφου ζωῆς ἀμειβόμενος, ὥσπερ τι λαμπρὸν γέρας ἀρίστης ἀθλήσεως, τὸν θαυμάσιον τόνδε καρπὸν ἐνεγκεῖν δίδωσιν, ὃς δὴ τῶν μὲν κατὰ θεσμοὺς προελθὼν φύσεως, τῷ πατρὶ δὲ τῶν φώτων ὑπερφυῶς εἰσποιηθεὶς τῷ θείῳ βαπτίσματι πᾶσιν 256r οὐ μετὰ μακρὸν χρόνον ἐκ | τῆς ἄνθης παρεῖχε τοῦ καρποῦ μαντεύεσθαι τὴν γλυκύτητα, ὡς ἔσται τις ἄρρητος ἡδονὴ βίου καὶ ζωῆς καὶ ὑγείας τοῖς ἀπολαύουσιν αἴτιος. Οὐ γὰρ ἔχαιρε παιδιαῖς καὶ ἀθύρμασιν, οὐδὲ τῶν ἡλίκων αὐτὸν ἔτερπον οἱ σφαιρίζοντες καὶ τὴν χεῖρα κινοῦντες κατὰ σκοποῦ καὶ τοῖς ὀρνίθων πτεροῖς ἁμιλλώμενοι, οὐδὲ χλιδὴν ἐζήτει καὶ θρύψιν καὶ ἀκροδρύων χυμοῖς ἐπεμαίνετο, ἀλλ᾽ ἦν αὐτῷ, πλὴν τοῦ οἴκου καὶ τῶν τεκόντων, οὐδὲν ἄλλο γνώριμον οὐδ᾽ ἐράσμιον. Ἐς διδασκάλου δὲ φοιτῶν οὐδὲν περαιτέρω τῶν μαθημάτων περιειργάζετο, ἀλλ᾽ ἦν τις ἀτεχνῶς ἀχρεῖος καὶ ἄχαρις πρὸς παιδιὰν ἅπασαν καὶ συνουσίαν ὁμιλικίης ἐρατεινῆς, ᾗ φησιν Ὅμηρος, ἄλλως δὲ πάντων ἥδιστός τε καὶ χαριέστατος ἐν οἷς ἔδει μαθεῖν τι τῶν συμφερόντων καὶ τὴν ἐν ἀγαθοῖς ὀξύτητα δεῖξαι τῆς φύσεως· ἀθορύβους γὰρ ὑπέχων τὰς ἀκοὰς τοῖς μαθήμασι καὶ τὸν νοῦν προσέχων τοῖς πλάττουσι, κηρός τις ἄντικρυς ἦν, ῥαδίως τυπούμενος καὶ τὰς εἰκόνας ἀνεξαλείπτους καὶ ἀσυγχύτους φέρων τῇ τῆς μνήμης στερρότητι. Καὶ μέντοι καὶ αὐτὸς ἐξεύρισκεν τῶν μαθημάτων τὰ κάλλιστα καὶ τὸν θύραθεν νοῦν ἐπαύξων ἦν τῷ οἴκοθεν βρύοντι, οὐκ εἰς μνήμην ἰὼν ὧν ἑτέρῳ συνὼν με-256v μάθηκε σώματι, ἧπερ ἂν Πλάτων ἠξίωσεν, τῷ δὲ καθαρῷ καὶ ἀμίκτῳ κακίας φωτὶ τῆς ψυχῆς φυσικῶς ἐπιβάλλων τοῖς θεωρήμασι καὶ τῇ τοῦ παναγίου πνεύματος ἐλλαμπόμενος χάριτι, ἣν ἐξ ἔτι παιδὸς εἶχε συνοῦσαν καὶ τὰ κατ᾽ αὐτὸν ὡς ἄριστα διευθύνουσαν. Ἧ δὴ καὶ παιδαγωγῷ καὶ ὁδηγῷ χρώμενος ἔγνωκε μὴ μάτην προσαναλίσκειν τὴν ζωὴν τοῖς Ἑλλήνων μύθοις διδόντα καὶ τοῖς σοφίσμασιν, ἀλλ᾽ ἀρκούμενον τοῖς λογίοις τοῦ θείου πνεύματος τῆς εἰς θεὸν ἀγούσης ἧφθαι φιλοσοφίας. Μηδὲ γὰρ εἶναι νοῦν ἔχοντος, ἐξὸν δι᾽ ὁμαλῆς καὶ ῥαδίας ἰέναι πρὸς τἀγαθόν, κύκλους αὐτὸν περιβάλλεσθαι. Φιλεῖ γάρ πως ἡ ψυχὴ οὐχ ἧττον συνδιατίθεσθαι τοῖς μαθήμασιν ἢ τοῖς ἄλλοις τοῦ βίου ἐπιτηδεύμασι καὶ δέος μή τινα ἤθους κηλῖδα ἐκεῖθεν ἐναπορμόξασθαι.

Ταῦτ᾽ ἐγνωκώς, πᾶσι χαίρειν εἰπών, ὅλῳ ποδὶ τῆς πρὸς Θεὸν φερούσης ἅπτεται καὶ γονέας ὑπεριδὼν καὶ συγγενῶν καὶ οἰκείων ὑπερφρονήσας καὶ τῆς ἐν βίῳ ῥαστώνης πλατὺν καταγνοὺς λῆρον καὶ πάντων καθάπαξ ἀ-

---

94 Il. 3, 175 101 - 102 cf Plato, Meno 81a - 81d.

---

104 ἐξέτι cod. 109 ὁμαλοῦ cod. 110 in marg: γνωμικὸν

λογήσας τῶν σαινόντων τὴν αἴσθησιν, ὅλον ἑαυτὸν τῷ Θεῷ φέρων δίδωσιν. Εἰ τοίνυν φρονήσεως μὲν καὶ τοῦ κατ᾽ αὐτὴν ἥκοντος κρίνειν μετ᾽ ἐπιστήμης εἰδέναι τὰ ὄντα, ᾗ ὄντα εἰσί, σωφροσύνης δὲ κρατεῖν τῶν σαρκικῶν ἡδονῶν καὶ αὖθις ἀνδρίας μὲν φέρειν τὸν ὑπὲρ ἀρετῆς πόνον γενναίως, δικαιο-
257r σύνης δὲ | διαιτᾶν κατὰ λόγον καὶ νέμειν ἑκάστοις τὰ πρὸς ἀξίαν, τίς οὐκ οἶδε τῶν πάντων ὡς οἷς μὲν τὰ ὄντα σοφῶς ἐσκέψατο φρονήσεως εἰς ἔσχατον ἐληλάκει, δι᾽ ὧν δὲ πρὸ τοῦ ἡδέος ἐποιήσατο τἀγαθὸν σωφροσύνης ἤρατο κράτος καὶ μὲν δὴ καὶ ἀνδρίας καὶ δικαιοσύνης αὐτῷ πολύ τι προσεμαρτύρησε χρῆμα τῷ τε πόνοις ὅλην προσαναθέσθαι τὴν ζωὴν καὶ τῷ Θεῷ προσενέγκαι καὶ σῶμα καὶ τὴν ψυχήν, παρ᾽ οὗ τὰ πάντα καὶ οὗ πάντα δῶρα τυγχάνει, μηδὲν προεισενεγκοῦσι διδόμενα. Οὕτως ἐξ ἄρα προοιμίων ζωῆς, ὦ λαμπρότατον φιλοσοφίας ἄγαλμα σύ, εἰς Θεοῦ φίλους ἔφερες καὶ τὴν μὲν σώματος ἡλικίαν μειρακίοις ἐνάριθμος ἦσθα, τὸ πνεῦμα δὲ κατάλληλον εἶχες τοῖς εἰς μέτρον ἡλικίας ἐληλακόσι τοῦ πληρώματος τοῦ Χριστοῦ. Εἶεν.

Ἀλλ᾽ οὕτω διανοηθεὶς καὶ οὕτω διαπραξάμενος, μὴ τὴν ἀκριβεστέραν ἄρα καὶ ἀσφαλεστέραν τοῦ ἐπαγγέλματος ὁδὸν οὐκ ἐζήτησεν ἢ ζητήσας οὐχ εὗρεν ἢ εὑρὼν οὐκ εἰς ἄκρον διήνυσεν ἢ διηνυκὼς οὐκ εἰς αὐτὰ τῆς ἀρετῆς λαμπρῶς εἰσήλασε τὰ βασίλεια ; Οὐδαμῶς, ἀλλὰ μᾶλλον μὲν εὗρεν ἢ ἐζήτησε, μᾶλλον δὲ ἢ εὗρεν ἐχρήσατο. Πάντων δὲ μάλιστα τετυχήκει περιφανοῦς τῆς ἐφέσεως ὡς μηδ᾽ ἑνὶ ῥαδίως ἐξεῖναι πότερον τὴν ἀρίστην ἐκείνου γνώμην
257v μᾶλλον θαυμάζειν ἢ τὴν τῆς ἀγαθῆς τύχης φιλοτιμίαν. Οὕτω παντα|χόθεν ἐκείνῳ κρότων προσῆκε καὶ θαύματος ἔκ τε ὧν ἑκάστοτέ γε προῄρητο καὶ ὧν εἶχε τὸ θεῖον συλλαμβανόμενον. Ἐκχωρήσας τοιγαροῦν τῆς τοῦ κόσμου ταραχῆς καὶ συγχύσεως οὐ τὴν ἀνειμένην διατριβὴν εἵλετο, οὐδὲ τῆς ἐν κοινοβίῳ ζωῆς τὴν ψυχαγωγίαν ἐζήτησεν, ἀλλ᾽ αὐτὴν ἤθελε καταθῦσαι τὴν ψυχὴν τῷ τὴν ψυχὴν ὑπὲρ αὐτοῦ θύσαντι.

Καὶ δή τινα θαυμάσιον ἄνδρα καὶ οἷον τὴν πολιτείαν ἰσάγγελον ἐγνωκὼς ἐν τῇ πόλει μονήρη βίον καὶ ἡσύχιον ἕλκοντα, θαυμαστὸν μὲν τοῦ εἴδους, θαυμαστὸν δὲ τοῦ τε τρόπου καὶ λόγου, θαυμαστὸν δὲ τῆς ἀσκήσεως τε καὶ διακρίσεως, οὐδενὸς μὲν τῶν κατ᾽ ἐκεῖνο καιροῦ λειπόμενον τὰ γ᾽ εἰς ἀρετὴν φέροντα, πάντων δὲ καὶ τῶν ἐν ἐρήμοις οἰκούντων ἕνεκα πενίας καὶ ἱδρώτων κρατοῦντα ἀσκητικῶν, τούτῳ δὴ φέρων ὁ γενναῖος ὅλον ἑαυτὸν δίδωσι. Ἴστε πάντες τὸν ἄνδρα, οἱ μὲν τὴν ἡλικίαν προήκοντες πείρᾳ γνόντες, οἱ δὲ τῶν ἀεὶ θαυμαζόντων καὶ κροτούντων ἀκούοντες, τὸν ἱερὸν λέγω Μακάριον, ᾧ Χοῦμνος ἦν τὸ ἐπώνυμον, ὃν καὶ βασιλεῦσι καὶ πατριάρχαις γνώριμόν τε καὶ σεβάσμιον ὁ βίος πεποίηκεν, οὗ καὶ λόγος νόμος ἐκείνοις καὶ νεῦμα μόνον χρησμὸς ἄντικρυς, ὃν οὔτ᾽ ἐπαινεῖν ἱκανῶς ἔχω, οὔτε παρα-

129 Eph. 4, 13

δραμεῖν δυνατῶς, ἀλλ' οἷόν τινι κόλλῃ δαιμονίως προσίσχομαι τοῖς τοῦ ἀνδρὸς ἀγαθοῖς καὶ οὐκ ἔστιν ἀπαλλαγή· καὶ ὑμεῖς οἶδ' ὅτι πάντες ταῦτὰ | 258r πάσχετε, ἐπεὶ καὶ πάντες ἐστὲ φιλόκαλοι. Τούτῳ τοίνυν προσελθὼν ὁ θεῖος ἀνὴρ καὶ σῶμα καὶ τὴν ψυχὴν ὑποτάξας, κείρεται μὲν κόμην καὶ τελεῖται τὰ μοναχῶν, συναποκείρεται δὲ νεκροποιὸν ἅπαν φρόνημα τῆς ψυχῆς καὶ σῶμα καὶ τὴν πρὸς αὐτὸ σχέσιν καὶ συμπάθειαν ἀπαρνησάμενος τῆς ψυχῆς καὶ ἡδονὴν ὅσην πρὸς ἄμφω τείνει. Καὶ πρός γε ἔτι τὸ αὐτοκρατὲς καὶ ἀδέσποτον δουλωσάμενος τοῦ λογισμοῦ καὶ τὸν αὐτοῦ σταυρόν, κατὰ τὸ γεγραμμένον, ἀράμενος καὶ ἀκολουθήσας Χριστῷ, ταὐτὸν δ' ἂν εἴη λέγειν ἐκείνῳ συσταυρωθείς, οὕτω θυσίαν ζῶσαν, ἁγίαν, εὐάρεστον Θεῷ, τὴν λογικὴν λατρείαν αὐτοῦ προσενήνοχε, τὸ μὲν αὐτόνομόν τε καὶ οἰκειόπιστον ξίφει ταπεινοφρονύνης ὑπαγαγών, ἀντὶ ψυχῆς δὲ καὶ θελήματος τοῖς νεύμασι χρώμενος τοῦ πατρός. Διατί; Ἵνα τήν τε πρώτην ἧτταν ἀνακαλέσηται, ἣν διὰ τῆς παρακοῆς ὁ πρῶτος Ἀδὰμ ὑποστάς, θάνατον καὶ φθορὰν καὶ παθῶν ἐσμὸν καὶ δουλείαν τοῦ πονηροῦ τῷ γένει παντὶ ἐπεισήγαγε, καὶ τὴν ὑπακοὴν τὴν μέχρι θανάτου τοῦ νέου Ἀδὰμ καὶ σωτῆρος μιμήσηται καὶ λοιπὸν δι' ἐκείνου μεσίτου πρὸς τὴν πρώτην ἐπανέλθῃ ἀπάθειαν καὶ μέντοι καὶ ὧν ἔσχε δόντος ἐκείνου ἐκστὰς τῷ Θεῷ αὐτὸν ἐκεῖνον ἔπειτ' ἀμοιβὴν καὶ δῶρον 258v ἀντιλάβοι πάντων ὑψηλότατον καὶ θειότατον. Βαβαὶ φρικτοῦ | συναλλάγματος. Ἔνθεν τοι καὶ τὸν νοῦν ἑκάστοτε προσέχων τῷ πράγματι ὅλος ἦν ἐξηρτημένος τοῖς τοῦ πρεσβύτου καὶ διδασκάλου νεύμασιν, ἄσμενος ὑποτιθεὶς ἑαυτὸν ἀνηκέστοις πόνοις καὶ ταλαιπωρίαις, οὐ μόνον ὅσαι τοῖς ἀσκηταῖς φάρμακον τοῦ παθητικοῦ καὶ ἀλογωτέρου τῆς ψυχῆς μέρους ἐπινενόηνται, ἀλλ' ὅσαι καὶ τὴν ἀναγκαίαν τροφὴν τῷ σαρκίῳ πορίζουσιν. Ἐντεῦθεν ποτὲ μὲν τῇ γῇ προσεταλαιπώρει, ποτὲ δὲ παρὰ τῶν φιλοχρίστων ἀνδρῶν ζωῆς ἀφορμὰς ἠρανίζετο, ἵνα τῷ μὲν τὴν σάρκα, τῷ δὲ τὴν ψυχὴν ταπεινώσας λέγειν μετὰ τοῦ Δαυὶδ ἔχῃ πρὸς Θεόν, ἴδε τὴν ταπεινωσύνην μου καὶ τὸν κόπον μου καὶ ἄφες πάσας τὰς ἁμαρτίας μου. Καὶ νῦν μὲν ἐξυλίζετο πόρρωθεν τοῦ ἄστεως ἐπιφορτιζόμενος καὶ διὰ μέσης τῆς λεωφόρου πρὸς τὸ οἰκεῖον σεμνεῖον ἰών, νῦν δὲ σταφυλῶν ἐπιφυλλίδας περιειργάζετο, ἄρτι μὲν φιλοπόνως τῷ προστάτῃ διηκονεῖτο, ἄρτι δὲ προσεῖχε τῇ ἀναγνώσει, ἀεὶ δὲ νηστείαις ἐδίδου καὶ ἀγρυπνίαις καὶ τῇ κατὰ νοῦν σχολῇ καὶ μελέτῃ ἐν σώματι περισπωμένῳ καὶ μυρίοις ἀγῶσι διασπωμένῳ καί, συνελόντα φάναι, πολλῇ τινι ταλαιπωρίᾳ καὶ ποικίλῃ καὶ διηνεκεῖ προσκείμενος ἦν, ἅμα μὲν τῷ διδασκάλῳ καὶ τοῖς ἑκάστοτε προσιοῦσιν ἐνδεέσι ζωῆς πο- 259r ρίζων ἐφόδια, ἅμα δὲ καὶ καρ|τερίας ἆθλα καὶ μισθῶν οὐρανίων ἀφορμὰς ἐπίτηδες κομιζόμενος παρὰ τοῦ σοφοῦ τὰ τοιαῦτα πατρός. Ὁ δὲ

161 - 162 Matth. 16, 25. 180 Psal. 24, 18

183 ἐπιφυλίδας cod. 187 ποικίλλη cod.

πάντα ἰσχύων ἐν τῷ ἐνδυναμοῦντι αὐτὸν Χριστῷ προθυμότατα διετέλει, οὐκ ἀνθρώπῳ τὴν λειτουργίαν εἰσφέρειν οἰόμενος, ἀλλ' ὃς ἧκε διακονήσων οὐ διακονησόμενος, καί γε διατετέλεκε τοῖς δούλοις διακονῶν μέχρι θανάτου καὶ τούτου διὰ σταυροῦ, ὃν ὁρᾶν ᾤετο βλέπων τὸν ἡγεμόνα καὶ ἀκούειν ἐκείνου κελεύοντος, καὶ τἄλλα δὴ τῷ σωτῆρι κεχρῆσθαι χρώμενος τῷ πατρί, ἀνθ' ὧν οὐδὲν ἐνόμιζε πράττειν ἀνύων τὰ ὑπὲρ δύναμιν, οὐδὲ τὴν ψυχὴν ἡγεῖτο τιμίαν, εἰ πολλάκις ὑπὲρ τῶν ἐκείνῳ δοκούντων αὐτὴν θείη, οὐδὲ μᾶλλον ἐνόμιζε παραιρεῖσθαι ἢ προστιθέναι τοῖς κεχρωστημένοις καλῶς γε ἐκεῖνος καὶ τῆς ἑαυτοῦ μεγαλοπρεπείας ἀξίως γινώσκειν. Ὁ γὰρ δι' οὑτινοσοῦν συνεῖναι τῷ δεσπότῃ καὶ δουλεύειν ἠξιωμένος ὑπόχρεων μὲν καθίστησι τῆς μελλούσης αὐτὸν διακονίας, ἣν περιζωσάμενος διακονήσει τοῖς δούλοις, ἐντεῦθεν δὲ κομίζεται τοὺς ἀρραβῶνας τῆς θαυμαστῆς ἀμοιβῆς καὶ τοῦ ἀπορρήτου καὶ πάντα νοῦν νικῶντος χρέους ἐκείνου, ἄλλων τε πολλῶν ἕνεκα καὶ ὅτι σύνεστιν ἤδη τῷ βασιλεῖ δι' εἰκόνος ἐμψύχου, ὃ παντὸς μᾶλλον συνορῶν ὁ θεῖος ἀνήρ, ἐφίλει μὲν τὸν διδάσκαλον καὶ τῆς ἰδίας ψυχῆς ἐτι-
259v μᾶτο, ὡς καὶ δεῆσαν | ἑτοιμότατα ταύτην ὑπὲρ αὐτοῦ θεῖναι. Παρατιθεὶς δὲ τὸ αὑτοῦ ταῖς τοῦ δεσπότου χάρισι καὶ τῷ φίλτρῳ καὶ τὴν ὑπερβολὴν φρίττων ἐκείνων, εἰς ἄβυσσον ταπεινοφροσύνης τὸ φρόνημα τῆς ψυχῆς κατῆγε. Κἀντεῦθεν εἰς ἀπαθείας ὕψος ἠρμένος, ῥᾳδίως ὑπερίπτατο τῶν τοῦ πονηροῦ παγίδων, ὡς ἐπ' αὐτῷ καὶ μάλα τὸ τῷ σχολαστικῷ Ἰωάννῃ δοκοῦν τελεῖσθαι, ἐξ ὑπακοῆς ἐλθεῖν εἰς ἀπάθειαν διὰ μέσου τῆς μετριοφροσύνης, ἐφθακὼς εἰς τὴν τῆς ἀρετῆς κορυφὴν πρὶν βαδίσαι. Ἀλλὰ ταῦτα μὲν ἴσως καὶ ἄλλοις ἐσπούδαστο καὶ κατώρθωτο, τῆς θείας χειρὸς συνεφαπτομένης. Ὧ δὲ διαφερόντως ὑπερβάλλειν ἅπαντας τὸν ἱερώτατον Γαβριὴλ ἡγοῦμαι, ἡ τῆς φύσεως ἦν ἁπλότης καὶ ὥσπερ ἔμφυτος ἁγιότης καὶ ἡ τοῦ τρόπου εὐθύτης καὶ ὁσιότης, δι' ἣν οὐ μᾶλλον ἐδόκει διὰ σπουδῆς ἰέναι καὶ πόνου πρὸς τὴν τῆς ἀρετῆς κτῆσιν, ἀλλ' οὕτως ὁμαλῶς καὶ ῥᾳδίως, ὥσπερ καθαρὸς ὀφθαλμὸς πρὸς τὴν φωτὸς κοινωνίαν. Τούτου δ' ἄν τις αἰτιάσαιτο τὴν ἐκείνου τῆς ψυχῆς καθαρότητα καὶ ὑγείαν, καθ' ἣν μένων ἐν τῷ τῆς φύσεως καθεστῶτι καὶ μηδεμίαν πονηρίας διπλόην ἐπεισαγαγὼν τῷ ἁπλῷ καὶ θεοειδεῖ τῆς ψυχῆς, ἵλεως ἐχώρει πρὸς ἀγαθοῦ πᾶσαν ἰδέαν, οὐδεμίαν ἔχων ἀνάγκην ξενο-
260r παθεῖν δι' ἐπειξίαν τῶν | ἐναντίων, ὃ τοῖς ἄλλοις συμβαίνει. Ἀνὴρ γὰρ ἐκεῖνος οὕτως εὐθὺς ἦν τὴν ψυχήν, ὡς καὶ τοῖς μετὰ λογισμοῦ πρὸς τὴν ὄψιν ὁρῶσιν τὸ τῆς ψυχῆς ἀγγελικὸν καὶ θεοειδὲς διαφαίνεσθαι, τῆς ἔνδον καταστάσεως εἰς τὰ σώματος πέρατα διαδιδομένης. Αὐτίκα γὰρ τὸ χάριεν καὶ φαιδρὸν καὶ προσηνὲς τῶν ὀφθαλμῶν προσυπήντα, τοῖς δὲ κοσμιότης ἐπέπρεπεν ἄρρητος καὶ σεμνότης. Οὔτε γὰρ τὸ χάριεν εἰς διακεχυμένον ἐξῆγεν, οὔτε τὸ σεμνὸν συναγωγῇ τοῦ προσώπου καὶ τῶν ὀφρύων εἰς σκυθρωπότητα ἦγεν, ἀλλ' ἤπιός τε ἦν ἅπας καὶ μειλίχιος καὶ χαρίεις καὶ τῆς τοῦ νοῦ

220 θεοειδῆ cod. 222 ἐπιξίαν cod.

φυλακῆς ἥκιστα πάντων ἠμέλει· τῷ μὲν στερρῷ καὶ βεβηκότι τοῦ φρονήματος περιποιούμενος τὴν σεμνότητα τῷ προσώπῳ, τῇ δὲ χάριτι τῶν ἠθῶν τῆς ψυχῆς μηνύων τὴν εὐφροσύνην πᾶσιν ἐκόμα τοῖς ἀγαθοῖς. Ἐχέφρων ἦν, σώφρων εἴπερ τις ἄλλος, ἀνδρεῖος, δίκαιος, τέλειος τῇ τῆς ἀρετῆς ἕξει καὶ ἐνεργείᾳ, ἐν βίῳ τελείῳ τῶν μὲν παρόντων ὡς μηκέτ' ὄντων ὑπερεώρα, ὅλῃ δὲ ψυχῇ τῶν μελλόντων ἀντείχετο. Οὐ πλοῦτον ἐθαύμαζεν, οὐ δυναστείαν, οὐ σώματος ὑγείαν καὶ ῥώμην, οὐ ζηλωτὸν καὶ μακάριον ἡγεῖτο τὸν τῆς ἐπικήρου ταύτης δόξης τῆς κορυφῆς ἐπιβεβηκότα. Μόνον ᾔδει τίμιον τὴν ἀρε-
260v τὴν κτῆμα, μόνην εὐδαιμονίαν | ἐνόμιζε τῷ Θεῷ κεχρῆσθαι. Τῶν ἡδονῶν οὐχ ὅσον ἐν τοῖς πράγμασιν κρείττων ἦν, ἀλλὰ κἂν τῇ τῆς φαντασίας αὐτονομίᾳ, Θεοῦ δὲ μόνου καὶ τῶν θείων ἤρα πραγμάτων καὶ ἀπολαύων οὐκ ᾔδει κόρον καὶ τρυφῶν πεινῶντι ἐῴκει. Ὀργῆς καὶ θυμοῦ καὶ λύπης καὶ φόβου ἀνώτερος ἦν. Πεινῶν μὲν ἐκοιμήθη πολλάκις, ὠργισμένος δὲ οὐδὲ ἅπαξ. Ἐν τοῖς πόνοις καρτερικὸς καὶ φερέπονος, ἐν ταῖς συμφοραῖς ἀκατάπτωτος καὶ ἀήττητος, ἐν ταῖς περιστάσεσιν ὑπομονητικός τε καὶ ἀπερίτρεπτος, ἐν τοῖς πειρασμοῖς καρτερικός τε καὶ εὔελπις, τὴν ἄνωθεν ἀεὶ φανταζόμενος συμμαχίαν, ἐν ἀνέσει πρὸς ἐπιφορὰν παρεσκευάζετο πειρασμῶν, πολεμούμενος δὲ ταῖς ἐλπίσιν εὐφραίνετο τῆς εἰρήνης. Τὰ μὲν προσόντα τῶν ἀγαθῶν Θεῷ λογιζόμενος τὰς ἀξίας ἀμοιβὰς ἐνενόει, ἀεὶ δὲ τὴν κτῆσιν προσαύξων οὐκ ἠγάπα τοῖς οὖσι. Τίς δ' ἂν ἐφίκοιτο λόγος τοῦ μεγαλοφυοῦς τοῦ ἀνδρὸς καὶ γενναίου ; Ἱλαρὸς ἦν, εὐπροσήγορος, φιλοπροσήγορος, πάντας σεβόμενος καὶ τιμῶν ὑπὲρ τὴν ἀξίαν, οὐ κολακεύων, οὐδὲ δουλεύων, ἀλλ' ἑαυτοῦ πάντας οἰόμενος ὑπερέχοντας. Διὰ μὲν ἐπαίνων καὶ παραινέσεων πρὸς ἀρετὴν εἷλκε, ἐπιτιμῶν δὲ καὶ ἐλέγχων κακίας ἀφίστη, μᾶλλον εὔφραινε τοῖς ἐλέγχοις ἤπερ ἕτεροι τοῖς ἐπαίνοις. Τὸ γὰρ αὐστηρὸν τῶν φαρμάκων
261r τῇ τοῦ ἤθους προσηνείᾳ καὶ | γλυκύτητι λανθάνειν ἐποίει. Μᾶλλον ἐφείλκετο σιωπῶν ἢ τοῖς μυρίοις ἕτεροι λόγοις. Οὐ δώροις ἐδουλοῦτο, οὐκ ἀπειλὰς ἐδεδίει, οὐ τὸν θάνατον αὐτόν, οὐδὲν πλὴν τῆς ἁμαρτίας φοβερὸν ἡγεῖτο. Ὁ αὐτὸς πολιτικός τε ἦν καὶ ἡσύχιος, κοινότατός τε καὶ ἰδιαίτατος, τὰ μὲν τῇ γνώμῃ, τὰ δὲ τῇ πρὸς Θεὸν νεύσει, ὁ αὐτὸς οἰκονομικός τε καὶ ἐλευθέριος, ταπεινός τε καὶ μεγαλόφρων. Πάντας μὲν ἀνθρώπους ἐφίλει, τοὺς μὲν χρηστοὺς καὶ διὰ τὸν τρόπον, τοὺς πονηροὺς δὲ διὰ μόνην τὴν φύσιν καὶ τὸν ζῆλον τοῦ ἀνωτάτου πατρός, ὃς ὁμοίως ἅπασι χαρίζεται τὰς ἡλίου ἀκτῖνας καὶ ὕει πᾶσιν ἐξίσου, μόνοις δὲ συνέχαιρε τοῖς βελτίστοις καὶ μόνοις ἐκέχρητο τοῖς ὠφελεῖν [ἢ] δυναμένοις ἢ ὠφελεῖσθαι. Πάντων προυνόει τῆς σωτηρίας καὶ συνηύχετο τἀγαθὰ περικαιόμενος τῆς πάντων ἀγάπης. Οὐ μόνον περὶ πλείονος ἦγε τῶν ἰδίων τὰ τοῦ πλησίον, ἀλλὰ καὶ τὴν ψυχὴν πρόθυμος ἦν ὑπὲρ αὐτῶν, καλούσης ἀνάγκης, προέσθαι. Ὑψηλὸς ἦν ἐν τοῖς ἔργοις καὶ τὴν ἀρετὴν ἀπαράμιλλος, ὑποβεβηκὼς δὲ τῷ μετρίῳ τῆς

264 ἢ secl. 268 **ἀπαράμιλος** cod.

γνώμης καὶ τῷ πᾶσιν εἴκειν καὶ ὑποπίπτειν, ἀγγελικὸς τὴν διάνοιαν, λαμπρότατος καὶ καθαρώτατος τὴν ψυχήν, ταμεῖον ἄντικρυς τῆς εὐωδίας τῶν τοῦ θείου πνεύματος χαρισμάτων. Ἐπιλείποι δ' ἂν ἡμᾶς ὁ βίος τὸ ὑπερφυὲς 261v θαυμάζοντας τῆς φύσεως τοῦ μεγάλου· | ἀλλὰ τοῦ μὲν ὡς οὐκ εἴκοντος λόγοις, οὐδ' ὑποπίπτοντος νόμοις, ἐπαίνων ἀφέξομαί γε καὶ ἄκων, τῶν δὲ πράξεων εἰς δύναμιν ἀποπειρατέον ἂν εἴη, τοῦτο μόνον προσθέντα, παντὸς μᾶλλον ἐκείνῳ προσῆκον, ὡς εἴπερ ἔδει τὴν ἀνθρωπίνην ἀρετὴν τῷ βίῳ δι' ἀνθρώπου φανεῖσαν τὸ τοῦ ἤθους ἀπέριττόν τε καὶ κόσμιον καὶ θεοειδὲς τοὺς ἀνθρώπους τελέσαι καὶ εἰκόνα τινὰ πάσης ἀρετῆς καὶ φιλοσοφίας εἰς κάλλος ἐξησκημένην προθεῖναι τῷ βίῳ, μὴ δι' ἄλλου μᾶλλον ἢ τῆς μακαρίας ἐκείνης ψυχῆς ἑλέσθαι ἂν ἡμῖν ἐμφανῆ γενέσθαι. Οὕτως ἦν ἡρμοσμένος καὶ διὰ πάντων συνᾴδων ἐκείνῃ.

Ἀλλ' ἐπανακτέον τὸν λόγον, τὰς ἐκδρομὰς ὅση δύναμις ἀναστέλλουσιν. Συνῆν τοιγαροῦν ὁ γενναῖος τῷ θείῳ πρεσβύτῃ, ἀπροσκόπως τὸν τῆς ἀσκήσεως δρόμον ἀνύων καὶ ὥσπερ τις πτηνὸς διαέριος πρὸς τὸ τῆς ἀπαθείας αἰρόμενος ὕψος. Ἐπεὶ δὲ τὸ περιφανὲς αὐτῶν τοῦ κατὰ Θεὸν βίου καὶ πολλοὺς ἄλλους πρὸς τὸν ὅμοιον ζῆλον κινῆσαν συνοίκους σφίσιν εἰργάσατο, καὶ ἦσαν οὐκ ἀγενὲς σύστημα, καὶ λοιπὸν ἔδει τούτοις εὐαγοῦς τινος χώρου, ἐφ' οὗ σεμνεῖον ἐχρῆν ἱδρυσαμένους τὴν διατριβὴν ὡς ἄριστα διατίθεσθαι, ὁ μὲν ποιμὴν τὸν κάλλιστον τῆς πόλεως τόπον ἀπολεξάμενος, ἵνα262r δήποτε καὶ βασίλεια ἵδρυτο, τοῖς φοιτηταῖς διακαθαίρειν ἐδίδου καὶ | πρὸς οἰκοδομίαν εὐτρεπίζειν μοναστηρίου καὶ τὴν παρασκευὴν ἀξιόχρεω τίθεσθαι. Ὁ δὲ Θεὸς ἄνωθεν καὶ τόνδε τὸν ἆθλον ἄρα τῷ πάντ' ἀρίστῳ καὶ γενναίῳ Γαβριὴλ ἐπεκλήρωσε. Καὶ ὁ τρόπος οἷος· γράμματα τοῦ κρατοῦντος παρὰ τὸν ποιμένα φοιτῶσιν ἐπὶ προστασίαν αὐτὸν προκαλούμενα τῆς πάντα λαμπρᾶς μονῆς τῶν Στουδίου. Καὶ ὁ μέν, ὡς οὐκ ἐνὸν ἀντιβαίνειν, ἄνεισιν ὡς τὸν βασιλέα, τῷ δὲ ἐπιτέτραπται παρὰ τοῦ πατρὸς ἥ τε τῶν ἀδελφῶν προστασία καὶ ἡ τῆς οἰκοδομίας φροντίς, ἑκάτερον μεγάλου πόνου καὶ ψυχῆς γενναίας δεόμενον. Δέχεται καὶ ἀμφοῖν ὁ μέγας τὴν ἐπιμέλειαν, οὐ μεμαθηκὼς ἐρίζειν οὐδὲ κραυγάζειν οὐδ' ἀντιλογίας προΐεσθαι ῥῆμα, κἂν ἐπὶ θάνατον αὐτὸν τύχῃ προτρεπόμενος ὁ πατήρ. Ὡς μὲν οὖν ἄριστα τὴν πνευματικὴν ἡγεμονίαν διαθεῖτο τῆς αὑτοῦ ψυχῆς τὴν σωτηρίαν ἑκάστου τῶν ὑπὸ χεῖρα ὑπερτιθεὶς καὶ ὡς ἀρχέτυπον ἑαυτὸν καὶ ζωῆς ἀρίστης καὶ ταπεινώσεως ἄκρας πᾶσι προσθείη, δοῦλον ἑαυτὸν διὰ Χριστὸν νομίζων τῶν ἀδελφῶν, ταῦτα δὲ ὡς οὐκ ἐνὸν ἀξίως ὑμνῆσαι, ἐάσειν μοι δοκῶ. Περὶ δὲ τῆς τῶν ἔργων κατασκευῆς οὐ μέτριά τινα διανοεῖται, οὐδ' ὥς τε καὶ τῷ σχήματι τῷ ἐκείνου συμβαίνοντα εἶναι, οὐδ' οἷα ἂν ἐπὶ νοῦν πένητος ἔλθοι, ἀλλὰ πρὸς ἃ καὶ χεὶρ ἂν ἀπώκνησε βασιλέως. Ὁ δὲ καὶ διανενόηται καὶ ἐνήρ-

303 ἐνεὸν cod.

262v ξατο | καὶ εἰς θαυμαστόν τι καὶ περιφανὲς πέρας ἤγαγεν.

Ἐπεὶ δὲ μετὰ συχνὸν χρόνον καὶ ὁ θεῖος πρεσβύτης ἀφῖκτο καὶ τοῖς ὀφθαλμοῖς ἔλαβεν ἃ τοῖς ὠσὶ δεχόμενος διαπιστῶν ἦν, ἐθαύμασε μὲν τῆς σπουδῆς καὶ μεγαλουργίας τὸν ἄνδρα καὶ τῆς εὐλογίας αὐτοῦ καὶ τῶν εὐχῶν μετεδίδου πλουσίως, μικρὸν δ' ἐπιβιοὺς τῇ κατασκευῇ τοῦ νεὼ ἐν αὐταῖς ταῖς χερσὶ τοῦ μεγάλου ἡδέως ἐναποψύξας μεταχωρεῖ πρὸς Θεόν, τῆς ἀρετῆς τὰ γέρα λαμπρὰ κομιούμενος.

Ὁ δὲ θαυμάσιος Γαβριὴλ καὶ τῷ ναῷ πέρας ἔθετο καὶ τὰ πέριξ εἰς τόδε κάλλους καὶ λαμπρότητος ἤγαγεν, ὥς ἐμπρέπειν μὲν λαμπρὸν οἷον τῇ πόλει, ἔνδειξιν δ' εἶναι τῆς τοῦ πεφυκότος φιλοτεχνίας, ἁμιλλᾶσθαι δέ πως τοῖς οὐρανίοις κάλλεσιν. Ὅσα γε εἰς κιόνων καὶ μαρμάρων αὐγὴν καὶ γραφικῆς ἀκρίβειαν φέρει, εἶπες ἂν αὐτὸν ἀπόρροιάν τινα θείου κάλλους, ἱερὰν κατοχὴν καὶ βακχείαν ταῖς τῶν ὁρώντων ψυχαῖς ἐνιέντα. Τὸν μὲν οὖν Σολομῶντα πάντες θαυμάζουσι τῆς ἱδρύσεως τοῦ νεώ, οὐ τοσοῦτον ὅτι βασιλεὺς ὢν καὶ πρός γε τῇ τῆς Παλαιστίνης δυνάμει Συρίαν τε καὶ Φοινίκην καὶ Αἴγυπτον ἔχων συναιρομένας τοῖς ἔργοις καὶ μέντοι καὶ παρὰ πατρὸς ὕλης παρασκευὴν ἀξιόλογον καὶ χρυσοῦ θησαυρὸν μυρίου διαδεξάμενος ἤρκεσε πρὸς
263r | αἴσιον πέρας ἀγαγεῖν τὰ βεβουλημένα, ὅσον ὅτι πατρὸς οὕτω θαυμαστοῦ προυκρίθη καὶ ἐξελέγη πρὸς τὸ θεοφιλὲς ἔργον παρὰ Θεῷ διαιτητῇ καὶ κληρούχῳ, τῷ δὲ ἥ τε σύντροφος πενία καὶ τὸ προκεκρίσθαι τοιούτου πατρός, ᾧ μηδὲν ὁ Θεὸς ἐπικαλεῖν εἶχεν οἷον ἐκείνῳ, μείζονα φέρει φιλοτιμίαν καὶ δόξαν καὶ παρὰ ταῖς ἁπάντων ψυχαῖς πίστιν ἀκίνητον ἐνιδρύει μὴ ἂν ἄλλως οὕτως ἐπ' αὐτὸν εὐδοκῆσαι τὸ θεῖον καὶ συνάρασθαι οἱ πρὸς τοὔργον, εἰ μὴ τὴν αὐτὸς αὑτοῦ ψυχὴν τῷ Θεῷ πρότερον καθιερώκει, ἔμψυχον ναὸν τῆς Τριάδος ἑαυτὸν ἀνεγείρας, ὥς μὴ μόνον δόξαν φέρειν τῷ ἐνοικοῦντι, ἀλλὰ καὶ τοῖς ἑκάστοτε προσιοῦσιν αἴτιον καθίστασθαι σωτηρίας. Εἶεν. Ἐπὶ δὲ ὁ πατὴρ τῆς παρούσης ζωῆς μετετέθη, μὴ τὸ ἦθος ἄρα καὶ τὴν ἀρίστην δίαιταν ἠλλοίωσεν ὁ γενναῖος πρὸς ἀρχοντικὸν ἑαυτὸν ἄρας τῦφον ἢ τὴν πρὸς αὐτὸν εὔνοιαν τῶν ὑπηκόων ἐμείωσεν ἢ τοῦ τόνου τῆς ἀσκήσεως καθυφῆκεν ἢ τῆς τῶν ἔργων ὠλιγώρησεν εὐπρεπείας; Ἥκιστά γε. Ἀλλ' ὁμοῦ πάντα καὶ τὴν οἰκείαν ἀρετὴν καὶ τὴν τῶν μαθητῶν καὶ τὰ τῆς μονῆς λαμπρῶς ἐπηύξει καὶ περιφανέστατα διετίθει τὸ καθημέραν. Οὐ γάρ, ᾗ πρόσθεν ἔφην, μέχρι διανοίας μόνον δοῦλον ἑαυτὸν ἐνόμιζε τῶν συνόντων, ἀλλ'
263v οὐδ' ἐν τοῖς ἔργοις ἀπηξίου τὰ δούλων ἐπιδείκνυσθαι, ἀλλὰ καὶ προθύμῳ | καὶ γενναίᾳ χειρὶ καὶ αὐτῶν συνεφήπτετο τῶν εὐτελεστάτων καὶ βαρυτάτων καὶ μᾶλλον ἔχαιρεν ἑτέροις διακονούμενος ἢ αὐτὸς ἀνέχεσθαι λειτουργούντων. Τὴν μέντοι τάξιν καὶ τὸ διδασκαλικὸν ἀξίωμα διετέλει φυλάττων καὶ τοῖς ὑπηκόοις αἰδέσιμον καὶ φοβερὸν ἑαυτὸν συνιστὰς τῷ τῆς ἀρετῆς ὑψηλῷ καὶ ἀπαραμίλλῳ καὶ τῷ μεγαλοφυεῖ τῆς ψυχῆς καὶ γενναίῳ. Ἀλλὰ γὰρ οὐκ οἶδ'

ὅπως προσφύομαι τοῖς τοιούτοις λόγοις καὶ οὐκ ἐᾷ με τὸ τῶν ἠθῶν τοῦ ἀνδρὸς θαῦμα πρόσω τὸν λόγον ἐπείγειν. Ἐπανακτέον δ' ὅμως εἰς δύναμιν.

Τῆς οὐκ ἀγαθῆς τύχης λαμπρῷ τῷ ῥοίζῳ κατὰ τῶν ἀθλίων πνευσάσης Ῥωμαίων καὶ οὐδ' ὁπωστιοῦν ἔτι καθεκτῆς οὔσης, ἀλλ' ἄρδην ἅπανθ' ὅσον οὐκ ἤδη τὰ ἡμέτερα χειρὶ περσικῇ κατενεγκεῖν ἀπειλούσης καὶ τῆς Θεσσαλονικέων πόλεως δεινῶς πολιορκουμένης καὶ μηδεμιᾶς ἐλπίδος λοιπῆς οὔσης τοῦ μὴ τοῖς πολεμίοις ἁλῶναί τε καὶ θᾶττον ἐξανδραποδισθῆναι, ἀνάγκην ὁ μέγας ὑφίσταται καὶ τὴν πατρίδα καὶ τοὺς θαυμαστοὺς προλιπεῖν πόνους καὶ τὴν Κωνσταντίνου καταλαβεῖν, ἐλπίδας σωτηρίας ὑποτείνουσαν χρηστοτέρας. Τοῦτο δ' ἦν ἄρα τῆς θείας ἔργον προνοίας, ἅμα μὲν ἔκδηλον καὶ περιφανῆ τῷ τε βασιλεῖ καὶ τῇ ἐκκλησίᾳ τὴν ἀρετὴν αὐτοῦ καθιστάσης, 264r ἅμα δὲ καὶ τὸ τῆς πόλεως ἔρεισμα καὶ τὴν | φρουρὰν πόρρω τιθείσης, ὡς ἂν μηδενὸς ἔτι κωλύοντος ἡ ἀνατεινομένη παιδευτικὴ τοῦ Θεοῦ χεὶρ τὸ ἐνεργὸν λάβῃ, φειδομένη δι' ἕνα δίκαιον ἅψασθαι τῶν ἡμαρτηκότων.

Ἦν ταῦτα. Καὶ τῆς βασιλευούσης ἐπιβὰς ὁ πατὴρ δέχεται τὴν προστασίαν αὐτίκα καὶ τὴν οἴκησιν τῶν φροντιστηρίων τοῦ περικαλλεστάτου, Χώραν αὐτὸ καλεῖν ἐθέλουσιν οἱ πολῖται, οὐ μόνον δέ, ἀλλὰ καὶ τῶν ἄλλων ἁπάντων φροντιστηρίων ἔφορος καθίσταται καὶ διαιτητὴς καὶ τῆς κατὰ μοναχοὺς ἀρετῆς τεχνίτης, ὥσπερ αὐτοῖς πράγμασιν οὐ λόγοις τῶν μὲν ἀνακηρυττόντων ἁπάντων τὴν τελεωτάτην αὐτῷ τῆς ποιμαντικῆς ἐπιστήμην, τῷ δὲ τὴν ἀρίστην τῆς ψυχῆς ἕξιν, ὅτι δὴ τῷ καλλίστῳ καὶ βελτίστῳ τὴν ἀρετὴν πρέπον ἐνδιαίτημα τῆς πόλεως ὁ κάλλιστος χῶρος, ᾧ μηδ' ἐπιθέτου δεῖ κλήσεως, ἵνα κατάδηλος ᾖ. Καὶ δῆτα συχνὸν οὐ πάνυ τοι χρόνον ἐνταῦθα διατρίψας καὶ θαυμασθεὶς μὲν ὑπὸ βασιλέως, θαυμασθεὶς δὲ ὑπὸ τῶν ἐν τέλει, λύχνος δὲ λαμπρὸς οὐ μάλα δίκαιος καλύπτεσθαι τῷ τῆς ἡσυχίας μοδίῳ φανεὶς τῇ τοῦ Χριστοῦ ἐκκλησίᾳ εἰς τὸν περιφανῆ τῆς ἱεραρχίας ἀνάγεται θρόνον, τῆς κατὰ Χαλκηδόνα ἱερᾶς μητροπόλεως τοὺς οἴακας πιστευθείς, καὶ τοῦτο σὺν λόγῳ καὶ σώφρονι λογισμῷ, ἵνα μήτε προφάσει 264v τῆς τοῦ ποιμνίου φροντίδος πόρρω | τῆς πόλεως τηλικοῦτον ἀγαθὸν ἐλαθῇ καὶ κοινωνὸς τῆς ἀρχῆς ἐν μέρει τῷ καθολικῷ τῆς ἐκκλησίας τυγχάνῃ ποιμένι. Οὐδὲν δὲ οἷον μικρόν τι προσδιατρίψαι τῷ τόπῳ. Ὁ τῆς Χαλκηδόνος ἱερὸς θρόνος, πολλοῖς καὶ ἄλλοις ἄνωθεν τιμηθεὶς παρὰ τῶν θείων πατέρων πρεσβείοις, ἀντὶ μεγίστης τιμῆς καί τι μέρος διέπειν ἐντὸς τῆς βασιλευούσης λαμβάνει. Δι' ἣν μὲν αἰτίαν παρέλκον ἂν εἴη λέγειν, λαμβάνει δ' οὖν. Τοῦτο σκανδάλων πρόφασις ἀεὶ καθειστήκει τοῖν ποιμένοιν ἀμφοῖν, λέγω δὴ τῷ πατριάρχῃ καὶ τῷ Χαλκηδόνος προέδρῳ. Ταῦτ' ἄρα καὶ τοῖς ἱεροῖς ἐπεψήφιστο πάλαι ἐπισκόποις, μηδένα τοῦ λοιποῦ χειροτονεῖν Χαλκη-

370 Marc. 4, 22

346 προσφύεμαι cod.

δόνος. Ἀλλ᾿ ὁ μέγας καὶ μόνον φανεὶς αὐτίκα λύει τὸ δόγμα, μόνος τοῦ τε γέρως κριθεὶς ἄξιος καὶ πιστευθεὶς μηδὲν τοῦ τῆς εἰρήνης καλοῦ πρότερον ἄξειν. Καὶ τὸ μέγιστον ὡς ἂν τῇ τῆς ἀρχῆς κοινωνίᾳ πᾶσαν ἔχῃ καταφαιδρύνειν τὴν ἐκκλησίαν καὶ πρὸς μεγίστην ἐπίδοσιν ἀρετῆς ἐνάγειν, ὥς ἄν τις ἁγιασμοῦ καὶ καλοκαγαθίας ὢν ζύμη, καὶ μὲν δὴ καὶ πρὸς ἱερωσύνης εὐθύτητα κανονικὴν στάθμην καὶ γνώμονα τῆς τελεωτάτης ἱεραρχίας ἑαυτὸν προθεὶς τῇ τοῦ Χριστοῦ Ἐκκλησίᾳ, ὥστε τοὺς βουλομένους κάλλιστα ἐφαρμόσαι καὶ εἰς τὸν ἔσχατον ὅρον τῆς θειοτάτης ἕξεως ἥκειν εἰς ἐκεῖνον ὁρῶντας τὸν τρόπον ῥυθμίζειν. |

265r Ἐπεὶ δὲ προσθήκην μεγίστην τῶν ὄντων ἀγαθῶν καὶ τῶν κακῶν λύσιν ὁ Θεὸς ἐβούλετο τὸν θαυμάσιον χαρίσασθαι τῇ πατρίδι, ἤδη τῶν ἡμαρτημένων διὰ τῆς παιδείας ἐπησθημένῃ, ὃν καὶ πρὸ κοιλίας μητρὸς εἰς τὴν αὐτῆς ἀφώρισε προστασίαν καὶ ἱερᾶς παιδείας καὶ νουθεσίας καὶ καθαρότητος βίου καὶ ἀσκητικῶν ἱδρώτων καὶ καταλλήλων ἐπάθλων καὶ χαρισμάτων τοῦ θείου πνεύματος ἠξιώκει, πρὸς τοῦτο δὴ τὸ τέλος τὰ κατ᾿ αὐτὸν ἄγων, λέγω δὴ τὴν ἐλευθερίαν καὶ σωτηρίαν τῆς αὐτοῦ πόλεως, τί γίνεται; Εἶχον μὲν ἑλόντες Ἀχαιμενίδαι τὴν πόλιν, εἶχον δὲ οὐδὲν μᾶλλον, ἀλλ᾿ ὁ τὴν Σάρραν καθαρὰν ἀλλοτρίας κοίτης τῷ πατριάρχῃ διασωσάμενος μετὰ τὴν ἀφαίρεσιν καὶ τήνδε κακῶν ἀπαθῆ καὶ μετὰ τὴν ἅλωσιν ἐν ταῖς χερσὶ τῶν ἀλαστόρων διαφυλάττει τῷ ταύτης προστάτῃ καὶ πολιούχῳ, τῷ μεγαλομάρτυρι καὶ μυροβλήτῃ, φημί, Δημητρίῳ. Ἃ καὶ γνοὺς ὁ πατὴρ ποθεῖ τὴν ἐνεγκαμένην, μιμνήσκεται τῶν πολλῶν ἱδρώτων καὶ πόνων, ἐπάνεισιν, ἔχεται μετὰ τῆς ἴσης σπουδῆς τῆς προτέρας μεγαλουργίας.

Ἐν τούτῳ τοῦ χρόνου μεθίστησι πρὸς ἑαυτὴν ἡ Τριὰς τὸν τῆς πόλεως ἱεράρχην, τὸν πολὺν τὰ θεῖα καὶ μέγαν Ἰσίδωρον, τὸν λαμπρὸν τῆς ἐκκλησίας φωστῆρα, τὸ στερέωμα τῶν θείων δογμάτων, τὸν ταῖς ἀρεταῖς κατάστερον
265v οὐρανόν. | Καὶ ὁ μὲν τὸ ἀναλῦσαι καὶ σὺν Χριστῷ εἶναι πολλῷ μᾶλλον κρεῖττον νομίζει τοῦ περιμένειν τῇ σαρκὶ δι᾿ ἡμᾶς, οὐκ οἶδ᾿ ὅπως τούτῳ μόνον ἀπολειφθεὶς τοῦ ἀποστολικοῦ ζήλου, οἶμαι δὲ θαρρήσας τῷ διαδόχῳ, τὸ ποίμνιον δὲ μετὰ τῶν μεγίστων ἐλπίδων παρακατατίθεται τῷ μεγάλῳ, πολλὰ τῷ τε κλήρῳ καὶ τοῖς πολιτευομένοις ἄρχουσιν ἐπισκήψας, μηδένα τῆς σφετέρας αὐτῶν ζητεῖν [τῆς] ἐκκλησίας προστάτην ἀμείνονα, τὸν πάντων ἄριστον ἔχοντας ἐν χερσί, ταύτην λέγων τελευταίαν αὐτοῖς τε τῶν συνοισόντων γνώμην εἰσάγειν καὶ τῷ κοινῷ τῶν ἱεραρχῶν συνεδρίῳ τὴν δοκοῦσαν ἀρίστην ψῆφον ὡς οὐκ ἔστιν οὐδείς, οὐδὲ εἷς, τῶν ἐν τοῖς ἱεροῖς ζώντων, ὃς ἀρκέσει τὰ τοιαῦτα κατὰ τὸν ἱερώτατον Γαβριὴλ περαίνειν. Καὶ ὁ μὲν ἔλεγε καὶ πάντες συνηύχοντο. Θεὸς δ᾿ ἐπεψηφίζετο τοῖς ἐκείνου λόγοις διὰ τῆς ἐκκλησίας, ὁ καὶ τὴν γνώμην

---

400 Gen. 20, 1 - 7

---

407 πολλὺν 414 τῆς secl.

ἐμπνεύσας ἐκείνῳ καὶ τοὺς ζῶντας τῶν ἐπισκόπων πείσας θέσθαι τῇ ψήφῳ. Ὁ μὲν οὖν θεῖος Ἰσίδωρος πρέπουσιν ἐπιλόγοις τοῖς ὑπὲρ τῆς ποίμνης ψηφίσμασι καὶ τοῖς κατὰ τοῦ ἀνδρὸς ἐγκωμίοις τὸν ἀγῶνα τῆς ζωῆς κατακλείει. Γίνεται δὲ περὶ τὸν θρόνον ἔρις οὐ μάλα δικαία. Ἐδίδου γὰρ τοῖς βουλομένοις ἀντιποιεῖσθαι πάροδον ὁ καιρός, τῶν Περσῶν ἐχόντων τὸ κράτος καὶ
266r τῆς ἄριστα τὰ τοιαῦτα | ταττούσης ἐκκλησίας δεινῶς ὑπ᾽ αὐτῶν πολιορκουμένης. Πλὴν νικᾷ τὸ πνεῦμα τὸ ἅγιον καὶ τῷ ἁγίῳ κυροῦται τὰ τῆς τιμῆς, τῶν δρᾶν ἐχόντων τὰ τοιαῦτα γραμμάτων καταπεφοιτηκότων ἐκεῖθεν. Καὶ παρρησιάζεται τὰ τῆς ἀρετῆς καὶ ὁ χειμὼν ἐκποδὼν καὶ τὸ τῶν ψυχῶν ἔαρ φαιδρὸν καὶ τὰ τοῦ πνευματικοῦ θέρους ἐν ἐλπίσι χρησταῖς· καὶ κοιμίζεται μὲν αὐτίκα τὸ ἐπὶ τῷ ποιμένι τῆς πόλεως πένθος κοινόν, κοιμίζεται δὲ ἑκάστοις τὸ ἴδιον. Ἀεὶ γὰρ ἡ μείζων ἡδονὴ ἀμαυροῖ τὴν ἐλάττονα ὀδύνην καὶ τὸ κοινὸν ἀγαθὸν κατακρατεῖ τοῦ ἰδίου κακοῦ. Μάχη δὲ καὶ ἔρις καὶ συναλλαγμάτων βιαίων στραγγαλιὰ μακρὰν ὑπερορίζεται, κατάγεται δὲ εἰρήνη βαθεῖα, ἥ τε πρὸς ἑαυτὸν ἑκάστου καὶ πρός τε ἀλλήλους καὶ τὸν Θεόν, καὶ δικαιοσύνη καὶ ὁσιότης καὶ σύμπας ὁ κύκλος τῶν ἀρετῶν. Καὶ πρῶτον μὲν καταλλάττει τὸ στασιάζον πρὸς ἑαυτόν, μᾶλλον δὲ διαλλάττει πρὸς τὸν Θεόν, ἄλλον ἄλλου φθάνοντος εἰς παραίτησιν καὶ πάντων πρὸς ἕνωσιν ἄρρηκτον ἑλκομένων ταῖς τε τῆς ἀρετῆς καὶ πρᾳότητος ἐπῳδαῖς καὶ ταῖς τῶν μειλιχίων ἠθῶν βιαίοις ὁλκαῖς. Ἔπειτ᾽ ἀφ᾽ ἑστίας ἀρξάμενος, ὃ δὴ λέγεται, τάττει λίαν σεμνῶς καὶ πανσόφως τὴν ἱερὰν τάξιν τοῦ βήματος. Διαλέγεται
266v τοῖς ἱερουργοῖς περὶ βίου καθαρότητος καὶ σεμνότητος καὶ | τελεωτέρας ἀγωγῆς, δείκνυσιν ὁποῖον δή τινα προσῆκεν ὑπάρχειν τὸν ἐγγίζειν ἠξιωμένον Θεῷ καὶ τὴν ἀπόρρητον καὶ φρικτὴν θυσίαν ἱερουργοῦντα καὶ τοὺς ἄλλους ἁγιάζειν ἐπαγγελλόμενον, νομοθετεῖ τοῖς ἐν παρθενίᾳ, ἐμβιβάζει τοὺς ἐν συζυγίᾳ πρὸς ἐγκράτειαν τῆς σαρκός, παιδαγωγεῖ τὴν νεότητα, συνετίζει τὴν πολιάν, διορθοῦται τοὺς πλημμελοῦντας, τοὺς ἁμαρτάνοντας ἐπιστρέφει, τοῖς μετανοοῦσιν ἐγγυᾶται τὸν θεῖον ἔλεον, τοὺς ἀγωνιζομένους ἀλείφει, τοῖς καλῶς τρέχουσιν εὐτονίαν χαρίζεται, τῶν προσκρουόντων ἐκ μέσου τὰ σκῶλα τίθησι, πολεμουμένοις ἀμύνει, νικῶντας στεφάνοις λαμπροῖς ἀναδεῖ, τοὺς πεσεῖν κινδυνεύοντας ὑπανέχει, γίνεται τοῖς μὲν ἑστῶσιν ἀσφάλεια, τοῖς δε κειμένοις ἀνάστασις, ῥαθυμοῦσι προθυμία, ὀλιγωροῦσιν ἀναψυχή, ἀσθενοῦσι ῥῶσις. Τί δεῖ κατὰ μέρος λέγοντας διατρίβειν ; Ἅπασι γίνεται πάντα, ἵνα πάντας σώσῃ καὶ τῷ πιστεύσαντι προσαγάγῃ, καὶ καθάπερ πάλαι τοῖς Ἑβραίων παισὶν ἐξαλλάττειν φασὶν ἐπ᾽ ἐρημίας τὸ μάννα καὶ τὴν ποιότητα διαμείβειν

---

439 T. Gaisford, Paroemiographi graeci, σελ. 8, 68
452 cf I Cor. 9, 22

---

425 τοῖς cod. 431 in marg. γνωμικὸν 454 πιότητα

πρὸς τὴν ἐπιθυμίαν τῶν δαιτημόνων, ἢ μᾶλλον ἐγγυτέρω προσαγαγεῖν τὴν εἰκόνα, καθάπερ ἐπὶ τοῦ μέλλοντος ἐλπὶς τοῖς ἁγίοις ὑπάρξειν τὸν Κύριον καὶ ἔνδυμα καὶ τροφὴν καὶ φῶς καὶ ζωὴν καὶ δόξαν καὶ ἡδονὴν καὶ τἆλλα, 267r οἷς ἂν ἡ μακαρία συσταίη ζωή, | οὕτω καὶ τοῖς μαθηταῖς ὁ μακάριος ἀντὶ πάντων ἐγίγνετο, οὐ μόνον ὅσα τείνει πρὸς τὴν ἐλπιζομένην μακαριότητα, ἀλλὰ καὶ οἷς ἄν τις ἀλύπως τὴν παροῦσαν ζωὴν ἀνύσειε. Τίς γὰρ ὀρφανίαν, ἐκείνου ζῶντος, ὠδύρατο; Τίς χηρείαν οὐκ ἀνεκτῶς ἤνεγκε ; Τίς παίδων ἀποβολὴν καὶ παντοίαν βίου περίστασιν ; Τίς πενίαν ἐκεῖνον ὁρῶν ἀνεκλαύσατο ; Τίς πλούτῳ κακῶν ὑπηρέτῃ καὶ μὴ μᾶλλον οὐρανῶν βασιλείας προξένῳ ἐχρήσατο ; Τίς, συλλήβδην εἰπεῖν, οὐ κατὰ τὴν πνευματικὴν καὶ σωματικὴν οὐσίαν βέλτιόν τι δι᾽ ἐκεῖνον ἔπραξε ; Προύκειται γὰρ πᾶσι θησαυρὸς ἄφθονος πάσης ἰδέας καλῶν ὁ μακάριος, φάρμακον παντὸς πάθους ἀλεξιτήριον, ἰατρεῖον ἄμισθον, διδασκαλεῖον φιλοσοφίας κοινότατον αὐτὸς ὢν καὶ μόνον φαινόμενος τῷ διακειμένῳ καὶ ἵλεῳ τοῦ ἤθους, ἡ πεπαροιμιασμένη σιωπῶσα παραίνεσις, οὐ μὴν σιωπῶσα τῇ γλώττῃ καὶ ταῖς ὑψηλαῖς τῆς ἀρετῆς θεωρίαις καὶ πράξεσιν, ἀλλὰ κατὰ τὸν φρόνιμον καὶ πιστὸν οἰκονόμον πᾶσιν αἰεὶ προτιθεῖσα δαψιλῶς καὶ πανσόφως τοῦ λόγου τὸ σιτομέτριον, οὐχ ὃν οἱ πολλοὶ θαυμάζουσιν ἐν καθαρότητι λέξεων καὶ συνθήκῃ παναρμονίῳ καὶ ποικιλίᾳ σχημάτων καὶ πυκνότητι τῶν ἐνθυμημάτων τὴν δύναμιν καὶ τὴν ὠφέλειαν ὁριζόμενον, ἀλλ᾽ ὃν ταῖς ὁσίαις ψυχαῖς πηγάζει τὸ πνεῦμα τὸ 267v ἅγιον καὶ διατίθησι κατ᾽ αὐτὸν τοὺς ἀκούοντας | αὐταῖς ταῖς ψυχαῖς ἐντυπούμενον. Δι᾽ ὃν Πέτρος ἐν μετρίοις καὶ βαρβαρικοῖς ὀνόμασιν ἅπαξ τὴν γλῶτταν κινήσας τρεῖς χιλιάδας τῶν ἀπειθῶν ᾽Ιουδαίων πρὸς πίστιν τοῦ παρ᾽ αὐτῶν σταυρωθέντος πατρὸς εἵλκυσε, δι᾽ ὃν ὁ σκηνορράφος καὶ ἰδιώτης τῷ λόγῳ, ὡς ἂν αὐτὸς εἴποι, εἴσω τοῦ εὐαγγελίου τὴν οἰκουμένην ἐποιήσατο, δι᾽ ὃν ἁλιεῖς καὶ τελῶναι τοὺς ἀνθρώπους ζωγρήσαντες τῷ δεσπότῃ κέρδος προσήγαγον πάντων κερδαλεώτατον, οὗ καὶ μόνον τῇ βιαίᾳ τοῦ ῾Αγίου Πνεύματος πνοῇ πνεύσαντος, Πυθαγόρου καὶ Πλάτωνος καὶ τῶν ἐκ τοῦ Περιπάτου καὶ τῆς ποικίλης Στοᾶς οὐχ ὅσον εὐθὺς φροῦδα τὰ δόγματα, ἀλλ᾽ οὐδὲ γνώριμα τὰ ὀνόματα. Τούτῳ χρώμενος ὁ μακάριος ἑκάστοτε, τὴν καρδίαν αὐτοῦ ὑπερβλύζοντι, πάντων τὰ ἤθη ἐρρύθμιζε καὶ φιλοσοφεῖν παρεσκεύαζεν. Οὔτε γὰρ αὐτὸς ἐπιδεικτικῶς καὶ πομπικῶς τοῖς λόγοις ἐκέχρητο, οὔθ᾽ ὁ λαὸς πρὸς μόνην ψυχαγωγίαν αὐτοῦ ἤκουον, ἀλλ᾽ αὐτός τε μετὰ πατρικῆς καὶ ἀποστολικῆς διανοίας ἀφελῶς καὶ ἀπεριβλήτως τοῖς μαθηταῖς διελέγετο καὶ αὐτοῦ πάντες ὡς θείας ἠκροῶντο φωνῆς. Μέγιστον δὲ τεκμήριον ὁ τῆς μετανοίας καρπός, ὃν αὐτοῦ γεωργοῦντος ἤνεγκε δαψιλῶς ἡ ἐκκλησία Χριστοῦ. Οἱ γὰρ πρὶν ἐκεῖνον ἥκειν εἰς προστασίαν οὐ-

470 - 471 Gen. 47, 12 - 14 476 - 477 Act. 2, 41

478 σκηνοράφος cod.

τως ἀθλίως ἔχοντες, ὡς ἐγκαταλελεῖφθαι παρὰ Θεοῦ καὶ παραδεδόσθαι τοῖς
268r ἀσεβέσιν εἰς δουλείαν καὶ | κόλασιν, οὕτως ἄμεινον ἔσχον ἐπιμελομένου λα-
χόντες ἐκείνου, ὡς διηλλάχθαι μὲν τῷ Θεῷ, λελῦσθαι δὲ τῆς δουλείας καὶ
τἄλλα πρᾶξαι βέλτιον ἢ κατ' ἐλπίδας. Ἀλλὰ μήπω ταῦτα. Ὅτι δὲ τὰς τῶν
βαρβάρων οὕτως ἀνηρτήσατο γνώμας τῇ τῶν ἠθῶν εὐκοσμίᾳ καὶ τῷ μεγίστῳ
τῆς ἀρετῆς θαύματι, ὡς πάντας οἷα Θεοῦ δούλῳ προσέχειν ἐκείνῳ πεῖσαι
τὸν νοῦν καὶ σέβας μεῖζον παρέχειν ἢ κατὰ ἄνθρωπον καὶ τοῖς ἐκείνου
μᾶλλον νεύμασιν εἴκειν ἢ δώροις τῶν ἱεραρχούντων τῆς σφετέρας αὐτῶν ἡγε-
μονίας ἑκασταχοῦ καὶ πρὸς ἡμερότητα τρέπεσθαι τὴν ἀήθη καὶ φιλανθρώ-
πως τοῖς ὑπηκόοις κεχρῆσθαι. Καὶ οὐ τοὺς μὲν ἡγεμόνας οὕτως ἦγε τῆς πόλεως,
τοὺς σατράπας δὲ ἔλαττον, ἢ καὶ τούτους μὲν ἔπειθε τῇ πόλει τὰ βέλτιστα
βούλεσθαι, τὸν δὲ τύραννον αὐτὸν οὐδὲ προβλέπειν ἐτόλμα, ἀλλὰ κἀκεῖνον,
καίτοι τἄλλα μιαρὸν ὄντα καὶ ἀναιδῆ καὶ θῆρα μᾶλλον ἢ ἄνθρωπον, οὕτω
καὶ μόνον φαινόμενος διετίθει πρὸς φιλανθρωπίαν καὶ ἡμερότητα, ὡς δὶς
πρὸς ἐκεῖνον ὑπὲρ τῆς ποίμνης πρεσβεύσας μετὰ μεγίστων ἐπαναζεῦξαι τῶν
δωρεῶν καὶ δυοῖν τῶν χαλεπωτάτων συμφορῶν λῦσαι τὴν πόλιν. Οὕτως ἐν-
δυναστεύειν καὶ διαλάμπειν οἶδε κἂν τῷ ζόφῳ τῆς ἀσεβείας τὸ φέγγος τῆς
268v ἀρετῆς. Ἡ γὰρ ψυχὴ κἂν μὴ πράττειν | αἱρῆται τἀγαθὸν ἀγομένη ταῖς ἡδο-
ναῖς, ἀλλὰ πρὸς ἐκεῖνο πλασθεῖσα γνωρίζει τὸ συγγενὲς καὶ τὸν μετιόντα
τέθηπε καὶ θαυμάζει κἂν φύσει πολέμιος ᾖ. Δανιὴλ μὲν οὖν καὶ οἱ τοῦ
πυρὸς κρατήσαντες παῖδες τοσοῦτο μόνον ᾄδονται παρὰ τοῖς πολεμίοις εὐ-
δοκιμῆσαι καὶ θαυμασθῆναι καὶ τῆς ἀρετῆς γέρας λαβεῖν, ὡς μόνοις σφίσιν
αὐτοῖς τὰς μεγίστας τιμὰς μνηστεύσασθαι, τοῖς ὁμογενέσι δὲ καὶ συναιχμα-
λώτοις μηδενὸς αἰτίους ὑπάρξαι χρηστοῦ μηδὲ μετριωτέραν ἐργάσασθαι τὴν
δουλείαν. Τὸν δὲ ἡ συνοῦσα τοῦ θείου πνεύματος χάρις τοσαύτην παρεσκεύασε
παρὰ τοῖς ἐναντίοις χάριν εὑρεῖν, ὡς μεγίστων δωρεῶν καὶ δουλείας ἀνεκτο-
τέρας αἰτιώτατον τῇ πόλει γενέσθαι. Εἰ οὖν ἀνάγκης οὔσης ἐλθεῖν τὰ σκάν-
δαλα, ὅμως οὐαί, φησί, δι' οὗ ἔρχονται, μακάριος ἂν εἴη δήπου, δι' οὗ πρό-
εισι τοῖς ἀνθρώποις τὰ ἀγαθά, καὶ καθάπερ ἐκεῖνον συμβαίνειν ἀνάγκη τοῖς
κακοποιοῖς δαίμοσιν, οὕτως ἔμπαλιν τούτων τῷ ἀγαθοποιῷ καταλλήλως ἔ-
χειν καὶ οἰκείως Θεῷ. Ἀλλὰ τί ταῦτα, καίπερ ὄντα τοιαῦτα, πρὸς τοὺς με-
γάλους καὶ ποικίλους καὶ παντοδαποὺς τοῦ ἀνδρὸς πόνους, οἷς ἑκὼν ὑπὲρ
τῆς ποίμνης ἑκάστοθ' ὑπέβαλλεν ἑαυτὸν ὁ γενναῖος λύσιν κακῶν καὶ σωτη-
ρίαν καὶ βίου ῥαστώνην ἰδίων αἱμάτων αὐτῇ κτώμενος; Οὐ γὰρ μόνον τῆς
269r | ἐκ τῶν ἀσεβῶν ἀρχόντων ἐπηρείας καὶ τῶν συνεχῶς ἐπιόντων ἐκεῖθεν δει-
νῶν ἀνωτέραν ἐτίθει τὴν πόλιν, ἀποδημίας μακρὰς καὶ συχνὰς καὶ κακώσεις
ὑπομένων παντοίας ἐν ἡλικίᾳ γήρως καὶ τακερῷ σώματι, πάλαι τοῖς ὑπὲρ

---

511 - 512 Dan. 6, 16 518 - 519 Matth. 18,7

---

494 διηλάχθαι

ἀρετῆς ἱδρῶσι καμόντι, ἀλλὰ καὶ πρὸς τὰς ἄλλοτε ἄλλας θεομηνίας καὶ πληγὰς θεηλάτους χεῖρα προΐσχετο σῴζουσαν καὶ ῥυομένην τῶν ἀναγκῶν, ἄλλος τις ὢν Μωϋσῆς, ἑστὼς ἐν τῇ θραύσει ἐνώπιον τοῦ Θεοῦ καὶ ἀποστρέφων τὸν δίκαιον αὐτοῦ θυμὸν ἀφ᾽ ἡμῶν. Εἰ οὖν μέγιστον ἀρετῆς καὶ θεοσεβείας τεκμήριον κωλῦσαι τῇ γῇ τὴν συνήθη τῶν ὑετῶν φορὰν διὰ τὴν πονηρίαν τῶν ἐνοικούντων, πηλίκον ἂν εἴη κακῶν δικαίαν φορὰν ἀνασχεῖν δι᾽ οἰκείαν δικαιοσύνην καὶ μᾶλλον ἑνὸς ἀνδρὸς ἀρετὴν δυνηθῆναι ἢ πόλεως ὅλης κακίαν. Τῷ δὲ οὐ ταῦτα μόνον ἦν ἀρετῆς ἆθλα, οὐδ᾽ ἀφ᾽ ὧν ἄν τις τεκμηριώσαιτο τὴν πρὸς Θεὸν αὐτοῦ παρρησίαν μεγίστην, οὐδ᾽ οἷς ἂν ἐγκαλλωπίσαιτο καὶ ἐγκαυχήσαιτο μόνοις, ἀλλ᾽ ὃ μέγιστον ἡμῖν εἰς εὐδοξίαν καὶ παντὶ τῷ βουλομένῳ κροτεῖν εἰς φιλοτιμίαν ἡ τῆς πόλεως ὅλης ἐστὶν ἐλευθερία καὶ τῆς τῶν ἀσεβῶν δουλείας ἀνάρρυσις, ἣν ἐκείνῳ πᾶς τις δικαιοσύνην τιμῶν δίκαιος ἂν εἴη λογίζεσθαι καὶ τῇ ἐκείνου τῆς ποιμαντικῆς ἐπιστήμης ἀκρότητι· |
269v ὁρῶν γὰρ τὴν λαμπρὰν καὶ περιφανῆ ταυτηνὶ πόλιν καὶ μετὰ τὴν πάντ᾽ ἀρίστων ἀρίστην, τὸ μόνον εὐσεβείας καὶ κανονικῆς ἀκριβείας ζώπυρον, ἐναγέσι καὶ μιαροῖς θηρσὶ παραδεδομένην καὶ κινδυνεύουσαν τοῖς ἐκείνων ἔθεσι συναναφυρῆναι καὶ μαθεῖν τὰ ἔργα αὐτῶν, ἥ φησιν ὁ προφήτης, καὶ γινώσκων εἰς πρᾶξιν ὄντα ταῦτα πονηροῦ βίου, αὐτός τε πρὸς τὴν αἰτίαν γενναίως ἵσταται δάκρυα μᾶλλον ἢ ὕπνον παρέχων τοῖς ὀφθαλμοῖς μεγίστῃ τε προσκείμενος ταλαιπωρίᾳ καὶ καθαρωτάτων εὐχῶν προσεδρείᾳ καὶ πανταχόθεν ἕλκων τὸν θεῖον ἔλεον καὶ τοὺς μαθητὰς πείθων μετάμελον σφοδρὸν ἴσχειν, ὧν σφίσιν αὐτοῖς συνέγνωσαν πλημμελήσασι καὶ διὰ τῶν ἐναντίων πράξεων τὴν ἐναντίαν τοῦ θείου διάθεσιν, εἰ οὕτω φάναι χρεών, μνηστεύεσθαι ἑαυτοῖς. Καὶ μέν τοι καὶ οὐ πρότερον ἔληξε τῆς σπουδῆς πλὴν καθαρὰν τῆς περσικῆς δουλείας καὶ ἀσεβείας τὴν αὐτοῦ πόλιν ἰδεῖν καὶ εἰς αὐτὴν διατηρῆσαι τὴν τελευτήν. Ἃ δὲ ἠγώνισται, οὐκέτι μὲν περὶ δουλείας ἁπλῶς, ἀλλ᾽ ἀνδραποδισμοῦ καὶ ἀναστάσεως ἐναργοῦς, τίς ἂν ἀξίως θαυμάσειε ; Ποῖος δ᾽ ἂν οὐκ ἀποκάμοι λογιζόμενος νοῦς ; Ἐγὼ δὲ τἄλλα πάντα παρεὶς καὶ τοσοῦτο<ν> μόνον προσθεὶς παντὸς μᾶλλον ἐκείνῳ πρὸς τρόπου, καταλύσω τὸν λόγον τοῖς ἐπιλόγοις. Πολλῶν ὄντων καὶ ποικίλων, ἃ τῇ φύσει θεόθεν
270v πολλάκις | ἀφῖκτο δῶρα πρὸς ἐπανόρθωσιν καὶ βοήθειαν καὶ πολλῶν καὶ μεγάλων ἀνθρώπων εἰς ἠθῶν βελτίωσιν καὶ καθαίρεσιν ἄλλοτε ἄλλης πονηρᾶς αἱρέσεως ἐκπεμφθέντων τῷ γένει, μόνος οὗτος ἤρκεσε πρὸς ἐπανόρθωσιν τῆς κατὰ Χριστιανοὺς πολιτείας τῇ νυνὶ γενεᾷ διὰ μιᾶς πόλεως δεδόσθαι στήλη θεοσεβείας καὶ ἀρετῆς καὶ ἄγαλμα ἔμπνουν πάσης ἰδέας καλῶν καὶ βίου μονήρους κανὼν καὶ ὅρος ἱεραρχικῆς ἐπιστήμης ὁ τελευταῖος καί, συνελόντα εἰπεῖν, ἀκραιφνὲς ἐκμαγεῖον τῆς θείας εἰκόνος ἀναπεφηνὼς τῷ τῶν ἔπειτ᾽ ἀνθρώπων βίῳ.

---

545 Psal. 105, 35 557 τοσοῦτο cod.

Τίς γὰρ τοιούτων αἰτίων τοῖς εἰς τὸν βίον προόδου τυχών, αὐτὸς ὑπερφυῶς ἔπειτα τούτοις τὴν ᾀδομένην ἀντιπελάργωσιν λαμπρὰν οἵαν εἰσέφερε, κόσμος καὶ κλέος καὶ σωτηρία καὶ πατρίδι καὶ τοῖς πατράσιν ἀναφανείς; Τίς ἀγωγῆς ἀστείας καὶ πρὸς Θεὸν μόνον ἀγούσης παραπλησίως εὐμοιρήσας ἐκείνῳ ἱερατικῶς ἀνήχθη καί, τὸ ὅλον εἰπεῖν, ἀγγελικῶς μηδεμίαν αἴσχους κηλῖδα, ὅσον ἐξῆν, προσαναμάξας τῷ ἐκ τοῦ θείου κάλλει λουτροῦ; Τίς μὲν χωρὶς τῶν θύραθεν λογισμῶν οὕτως ἄριστα τὴν φύσιν τῶν ὄντων ἐσκέψατο καὶ τῇ τομῇ τοῦ λόγου διεῖλε καὶ τοῦ μὲν καθάπαξ ἀπέσχετο, ὅσον 270v κάτω πέφυκε μένειν, ὅλῳ δὲ θυμῷ τῷ κρείττονι προσέθετο μέρει; | Τίς δὲ κόσμον καὶ κοσμοκράτορα καὶ τὰ τούτου μισήσας, οὕτω Θεὸν ἠγαπήκει, ὡς συμπάντων ἡδέων καὶ τῆς ἐν βίῳ ῥαστώνης ἀλλάξασθαι τὴν εἰς ἐκεῖνον ἄγουσαν, πῶς ἂν εἴποις, ἡδέως; Τίς τῇ καθαρᾷ τῶν βιοτικῶν καὶ ματαίων ἀποταγῇ καὶ ἀναχωρήσει ὑψηλὴν οὕτως ὑποταγὴν καὶ ταπείνωσιν συνῆψεν, ὡς ψυχήν τε καὶ σῶμα καὶ τὴν αὐτονομίαν τοῦ λόγου Θεῷ καταθύσας, ἀντὶ ψυχῆς ἔπειτα καὶ θελήσεως κεχρῆσθαι τῷ διδασκάλῳ καὶ ὥσπερ τινὰ ἄψυχον ὕλην αὐτῷ ἑαυτὸν ὑποθέσθαι, οὐκ ἐρίζων, οὐδὲ κραυγάζων, οὐδὲ φωνὴν ἀφιείς, κἂν τὴν ἐπὶ θάνατον ἑλκόμενος τύχῃ; Ψυχὴν δὲ οὕτω καθήρασθαι καὶ ἦθος ἅπαν ῥυθμίσαι καί, κερασάμενον πᾶσαν καλῶν ἰδέαν, τὴν ἀρίστην ἑαυτῷ τῆς ἀρετῆς ἕξιν συνθεῖναι, ὡς μηδὲ μέχρις ἐννοίας τῇ κακίᾳ πάροδον εἶναι. Ταῦτα δὲ τίνος ἀνύσαι παραπλησίως; Τίς δὲ οἶκον ἑαυτὸν πρότερον δειμάμενος τῷ Θεῷ καὶ θυσιαστήριον τὴν ψυχὴν δείξας, οὕτως ἔπειτ᾽ ἀξίως τῆς ὑψηλῆς ἱερωσύνης ἐπέβη καὶ οἶκον περικαλλῆ καὶ θαυμάσιον ἀνεγεῖραι Θεῷ ἠξιώθη, μήτε πλούτῳ, μήτε πολυχειρίᾳ τεθαρρηκώς, μήτ᾽ ἄλλῳ μηδενὶ τῶν ἀνθρωπίνων βοηθημάτων, μόνης δὲ τῆς ἄνωθεν γεγονὼς ὅλος ἐλπίδος, καθ᾽ ἣν αὐτῷ θαυμασίως πάντα προυκεχωρήκει; Τίς 271r κατ᾽ ἐκεῖνον ἀρχιερέα τὸν νοῦν πρότερον | ἐργασάμενος, ὡς εἰς τὰ ἅγια τῶν ἁγίων καὶ τοῖς λοιποῖς ἅπασιν ἄβατα Θεοῦ μυστήρια, μὴ τοῦ ἐνιαυτοῦ προσάπαξ, ἀλλ᾽ ἐφ᾽ ἑκάστης ἡμέρας λαμπρῶς εἰσιέναι καὶ τελεῖσθαι τὰ τελεώτατα, ἔπειθ᾽ ὡς ἄν τι γέρας ἢ τῆς ἀρετῆς δεῖγμα τὴν ἱεραρχίαν λαμβάνει; Τίνι δὲ τῶν ἁπάντων ἐξεγένετο τὴν αὐτοῦ ποίμνην ἐπὶ νομὰς ζωηρὰς καὶ τὴν τῆς ἀρετῆς εἰσελάσαι χώραν, ὡς ἀντὶ τῆς ἀπηχθημένης Θεῷ καὶ ἐγκαταλελειμμένης καὶ τοῖς πονηροῖς λύκοις εἰς κατάβρωμα καὶ δουλείαν προδεδομένης φιληθῆναι διαφερόντως Θεῷ καὶ τῆς τῶν ὀλεθρίων θηρῶν λύμης ἀνωτέρ ιν ἀνασωθῆναι, στήλην δὲ ἀρετῆς ἁπάσης καὶ καλῶν ἄγαλμα καὶ φιλοτιμίαν τοῦ πεφυτηκότος καὶ τῆς βασιλικῆς ἔνδειξιν εἰκόνος καὶ τὰ τοιαῦτα τίνα μᾶλλον λέγειν ἔχομεν ἢ ἐκεῖνον; Τὸ δὲ ταῦτα πάντα τελοῦντα ἔπειθ᾽ οὕτω ταπεινοφροσύνῃ καὶ τῷ μετρίῳ τοῦ ἤθους κεχρῆσθαι, ὡς μὴ οὐχ ὅ-

---

570 ἀστίας cod. 578 βιωτικῶν cod.

σον περίψημα πάντων ἑαυτὸν κατὰ τὸν μακάριον Παῦλον νομίζειν, ἀλλὰ καὶ τὰς ὑπερβολὰς τῶν τοῦ Θεοῦ χαρισμάτων κολάσεως τῆς ἐσχάτης ἀφορμὰς οἴεσθαι οἱ τελέσειν. Τίνος πέρι τῶν πάντων λέγειν ὁμοίως ἔχοιμεν ἄν; Πρα- 271v ότητος δὲ καὶ ἐπιεικείας καὶ τοῦ γαληνοτάτου τῶν τρόπων τοῦ τε κοσμιω|τάτου τῶν ἠθῶν καὶ ἡδίστου τίνι παραπλησίως μετῆν; Τίς μὲν ἀπαθείᾳ τὴν ψυχὴν ἐλαμπρύνθη μᾶλλον ἐκείνου, τίς δέ, συλλήβδην εἰπεῖν, τέμενος Θεοῦ τὴν ψυχὴν εἰργάσατο κατ᾽ ἐκεῖνον; Τίς ταμεῖον γεγονώς, μᾶλλον δὲ πηγὴ τῶν τοῦ πνεύματος χαρισμάτων, ἔπειτα καὶ ταμίας ὑπῆρξε καὶ χορηγὸς ἄφθονος ἅπασι τοῦ βλέποντος πλούτου, ὡς πᾶσιν ἐπαντλεῖν ἀμφοτέραις χερσὶν ἔχειν καὶ πάντας πληροῦντος Χριστοῦ εὐωδίας; Ἀλλ᾽ ἐπεί, σώματος ἡμῖν κοινωνήσας παραπλησίου, ἔδει καὶ πᾶσιν ὁμοίως λειτουργῆσαι τῇ φύσει, ἵνα μὴ τῷ τῆς ἀρετῆς παραδόξῳ καὶ τῷ ὑπερφυεῖ τῆς ψυχῆς δόξῃ τινὸς ἑτέρας μετεσχηκὼς φύσεως, εἴκει μὲν τοῖς τῆς φύσεως νόμοις καὶ τὴν ἔνδοξον καὶ λαμπρὰν ζωὴν λαμπροτέρῳ κατακλείει θανάτῳ ἐν οὐδῷ γήρως, ἐν χρόνῳ καμόντι σώματι, ἐν ἀκμῇ τῶν τῆς ἀρετῆς ἀνδραγαθημάτων, ἐν τῷ πληρώματι τοῦ μέτρου τῆς ἡλικίας Χριστοῦ καταλύσας τὸν βίον, μακάριος μὲν τῆς παρούσης γεγονὼς ζωῆς καὶ τίνος οὐκ εὐδαιμονέστερος βασιλέως, ὅτι τῆς τῶν παθῶν τυραννίδος ἀνώτερον εἶχε τὸν βίον καὶ προσῆν τῶν ἀγαθῶν ἐλπίδων ἡ εὐφροσύνη καὶ ὁ ἀρραβὼν τῆς μελλούσης κληρονομίας, πρᾶγμα 272r τοσοῦτον, τρισμακάριος δὲ τῆς τελευτῆς καὶ μυριάκις, ἀνθ᾽ ὧν | λυθεὶς τῶν ἐσόπτρων ἀμέσως συνέμιξε τῷ πεποθημένῳ δεσπότῃ καὶ τὸν τῆς οἰκονομίας λόγον καὶ τὸ τῆς ἀρετῆς ἔμφυτον τάλαντον μετὰ μυρίας ἐπαυξήσεως καὶ κέρδους πολυταλάντου προσήγαγε τῷ οἰκοδεσπότῃ.

Καὶ νῦν ὁ μέν ἐστιν ἐν οὐρανοῖς σεμνύνων κἀκεῖ τὸν τῶν μακαρίων χορὸν τῷ τοῖς ἁγιότητος κόσμῳ. Ἡμῶν δὲ λίαν γνοφερὰ καὶ ζοφώδης κατακέχυται νὺξ καὶ παχεῖά τις ὁμίχλη καὶ ἀλαμπὴς τῶν τῆς ψυχῆς ὀφθαλμῶν διεσκέδασται, ὡς πυκνά τε προσκρούειν τοῖς πάθεσι καὶ μηδὲ συμβαλεῖν ἔτ᾽ ἔχειν ποῖ φεροίμεθα καὶ ποῦ δὴ τῆς ἄλης σταίημεν, χωρὶς τῆς ἐκείνου ὁδηγίας πλανᾶσθαι ἠναγκασμένοι. Ἀλλ᾽ ὦ θειότατε πάτερ καὶ ἱερώτατε, ὦ πάσης ἁγιωσύνης καὶ ἀρετῆς ἑστία περιφανής, ὦ φύσεως ἔνδειξις καὶ φιλοτιμία τοῦ γένους, ὦ θείας ἱερωσύνης ὁ τελεώτατος ὅρος, ὦ τῶν πνευματικῶν χαρισμάτων ταμεῖον, ὦ τῶν δωρεῶν τῶν θείων τεχνῖτα, ὦ διατριβὴ καὶ χωρίον τῆς ἀνωτάτω Τριάδος, τὸν μὲν ἡμέτερον τουτονὶ δέδεξο ὕμνον, ὃν ὁ σός μοι πόθος εἰργάσατο φανερῶς τυραννήσας, τῆς μὲν ἀξίας εἰσάπαν ἐλλείποντα, σύμμετρον δέ μου τῇ δυνάμει καὶ τῇ ἕξει τῶν λόγων. Αὐτὸς δέ, ὦ θεία μοι καὶ ἱερὰ κεφαλή, μὴ τῇ φαυλότητι τῆς εἰσφορᾶς, τῇ σῇ δὲ | μεγαλοπρεπείᾳ τὴν χάριν ἀντιμετρήσας, ποιμαίνοις καὶ νῦν ἄριστα ἵλεως ἄνω-

604 Cor. I, 4, 13, 30, 31 619 Eph. 4, 13 625 - 626 cf Matth. 25, 14. 28

604 περίψυμα cod. 631 ἅλης cod. 636 δέδεξω cod.

θεν ἐποπτεύων κἀπὶ νομὰς ὁσίας ἰθύνων καὶ τῶν συνεχῶς ἐπιπηδώντων νοητῶν ἀεὶ διασῴζων με λύκων· καὶ μεταστάντα εἰς τὸν σὸν λιμένα τῶν ἀγαθῶν εἰσαγάγοις, ἐν αὐτῷ Χριστῷ τῷ Θεῷ ἡμῶν, τῷ ἀληθινῷ καὶ πρώτῳ ποιμένι, ᾧ πρέπει πᾶσα δόξα τιμὴ καὶ προσκύνησις σὺν τῷ ἀνάρχῳ αὐτοῦ πατρὶ καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ αὐτοῦ πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΛΟΥΪΖΑ ΣΥΝΔΙΚΑ - ΛΑΟΥΡΔΑ

641 - 642 cf Joh. 10, 9 - 13